U d'/ of Ottawa
39003001125052

Digitized by the Internet Archive
in 2011 with funding from
University of Toronto

http://www.archive.org/details/premierlivredela00xeno

LES
AUTEURS GRECS

EXPLIQUÉS D'APRÈS UNE MÉTHODE NOUVELLE

PAR DEUX TRADUCTIONS FRANÇAISES

Ce premier livre de la Cyropédie a été expliqué littéralement, annoté et revu pour la traduction française par M. Lehrs.

A LA MÊME LIBRAIRIE

Xénophon, expliqué par deux traductions françaises, l'une littéraire et *juxtalinéaire*, présentant le mot à mot français en regard des mots grecs correspondants; l'autre correcte, avec le texte grec, des arguments et des notes; format in-16, broché.

Anabase (les sept livres), par M. de Parnajon. 2 vol.	12 fr.
Chaque livre séparément.	2 fr.
Apologie de Socrate, par M. Leprévost. 1 vol.	60 c.
Cyropédie, livre premier, par M. Lehrs. 1 vol.	1 fr. 25
Cyropédie, livre deuxième, par M. Sommer. 1 vol.	1 fr. 25
Économique, par M. de Parnajon. 1 vol.	3 fr. 50
Entretiens mémorables de Socrate (les quatre livres), par M. Sommer. 1 vol.	7 fr. 50
Chaque livre séparément.	2 fr.
Extraits de la Cyropédie, par M. Petitjean. 1 vol.	1 fr. 25
Extraits des Mémorables de Socrate, par M. Sommer.	2 fr. 50
Morceaux choisis, par M. de Parnajon. 1 vol.	7 fr. 50

39564. — Imprimerie LAHURE, rue de Fleurus, 9, à Paris.

LES
AUTEURS GRECS

EXPLIQUÉS D'APRÈS UNE MÉTHODE NOUVELLE

PAR DEUX TRADUCTIONS FRANÇAISES

L'UNE LITTÉRALE ET JUXTALINÉAIRE PRÉSENTANT LE MOT A MOT FRANÇAIS
EN REGARD DES MOTS GRECS CORRESPONDANTS
L'AUTRE CORRECTE ET PRÉCÉDÉE DU TEXTE GREC

avec des arguments et des notes

PAR UNE SOCIÉTÉ DE PROFESSEURS

ET D'HELLÉNISTES

XÉNOPHON

PREMIER LIVRE DE LA CYROPÉDIE

PARIS
LIBRAIRIE HACHETTE ET Cie
79, BOULEVARD SAINT-GERMAIN, 79

1899

AVIS

RELATIF A LA TRADUCTION JUXTALINÉAIRE

On a réuni par des traits les mots français qui traduisent un seul mot grec.

On a imprimé en *italique* les mots qu'il était nécessaire d'ajouter pour rendre intelligible la traduction littérale, et qui n'ont pas leur équivalent dans le grec.

Enfin, les mots placés entre parenthèses, dans le français, doivent être considérés comme une seconde explication, plus intelligible que la version littérale.

PA
4494
.C71L4
1899

ARGUMENT ANALYTIQUE

CHAP. I.— Introduction : 1. Réflexions sur l'instabilité des gouvernements et sur la difficulté de gouverner les hommes. — 2. Les troupeaux se soumettent et s'attachent aux bergers qui les dirigent, tandis que les hommes ne haïssent rien tant que leurs maîtres. — 3. Cyrus prouve cependant que l'homme peut commander à ses semblables, s'il sait bien user du pouvoir. — 4. Car tant de peuples différents lui obéirent sans murmurer. — 5. Les grandes actions de Cyrus ont engagé l'auteur à écrire la vie d'un homme si extraordinaire.

CHAP. II. — 1. Noble extraction de Cyrus, célèbre parmi les Perses à cause de ses qualités. — 2. Les lois de la Perse ont pris soin de l'éducation de l'enfance, négligée chez les autres peuples. — 3. De la place publique consacrée aux exercices.—4. Division des citoyens en quatre classes, d'après leur âge. — 5. Nombre et qualités des chefs de chaque classe. — 6. Exercices de l'enfance ; elle reçoit des leçons de justice.—7. Les Perses punissent sévèrement l'ingratitude, qu'ils regardent comme la source de tous les vices. — 8. Tempérance, obéissance, abstinence, exercices du corps enseignés à l'enfance jusqu'à seize ou dix-sept ans. — 9. Exercices propres à la jeunesse ; elle est toujours à la disposition des magistrats et du roi. — 10. Pourquoi les jeunes Perses étaient exercés à la chasse. — 11. Constance des jeunes Perses à en supporter les fatigues. — 12. Occupations des jeunes gens qui n'ont pas suivi leurs compagnons à la chasse. — 13. Devoirs des hommes faits. — 14. Emplois confiés à la vieillesse. — 15 Résumé et suite de l'éducation publique chez les Perses. — 16. Marques de tempérance données par les Perses du temps de Xénophon.

CHAP. III. 1. Cyrus se rend avec Mandane auprès de son grand-père.—2. Réponse ingénieuse de Cyrus à sa mère.—3. Cyrus est sensible au plaisir de se voir revêtu d'habits magnifiques ; il se livre avec ardeur à l'équitation. — 4. Cyrus donne à Astyage des leçons de tempérance. — 5. Continuation du même sujet. — 6. Cyrus distribue aux serviteurs de son grand-père les mets qui lui étaient destinés. — 7. Il oublie Sacas, premier échanson d'Astyage, fort aimé de son maître. — 8. Cyrus se montre aussi habile à servir le vin que Sacas. — 9. Tableau de l'ivresse — 10. Espèce de vengeance que Cyrus veut tirer de Sacas, de ce qu'il l'avait empêché d'aller voir le roi à toute heure. — 11. Astyage prie sa fille de laisser Cyrus auprès de lui. — 12. Astyage veut engager Cyrus à ne point le quitter. — 13. Cyrus explique à sa mère pourquoi il aime mieux rester à la cour de son grand-père que de retourner en Perse. — 14. Il prouve à sa mère qu'il connaît parfaitement la justice. — 15. Il réfute une dernière objection.

CHAP. IV. — 1. Cyrus se concilie l'amitié des Mèdes. — 2. Preuve d'attachement donnée par Cyrus à Astyage, pendant une maladie de ce dernier. — 3. L'auteur explique la loquacité naïve et aimable du jeune Cyrus. — 4. Modestie de Cyrus avec ses égaux. — 5. Cyrus demande à son grand-père la permission d'aller à la chasse hors du parc.

— 6. Il craint d'importuner Astyage.—7. Astyage prévient le désir de Cyrus; mais il entoure son fils de toutes les précautions nécessaires. —8. Exploits de Cyrus à la chasse.—9. Il veut porter à son grand-père les preuves de son adresse, malgré les reproches que Cyaxare lui adresse sur son imprudence.—10. Cyrus obtient pour ses compagnons le fruit de sa chasse. — 11. Il leur fait le tableau de la beauté et du courage des bêtes fauves qui vivent en liberté, bien préférables à celles qu'on enferme dans des enclos. Il engage ses compagnons à l'accompagner souvent. — 12. Prié d'intervenir pour eux auprès de son grand-père, il leur avoue qu'il n'ose plus, comme autrefois, adresser sans cesse des demandes à Astyage. — 13. En vain Cyrus emploie l'adresse pour obtenir de son grand-père la permission d'aller à la chasse. — 14. Astyage, voyant Cyrus affligé d'un refus, ordonne une chasse magnifique.—15. Cyrus y prend un vif plaisir, à la grande satisfaction du roi. — 16. Origine de la guerre entre les Assyriens et les Mèdes. — 17. Le prince Assyrien commence les hostilités.—18. Astyage arme pour repousser une injuste agression; Cyrus se joint à lui. — 19. Cyrus conseille à son grand-père d'envoyer un détachement attaquer les ennemis. — 20. Premiers exploits de Cyrus. — 21. Son audace encourage les autres.—22. Astyage craignant que Cyrus ne s'engage témérairement, marche à son secours. — 23. Victoire complète remportée par les Mèdes.—24. L'honneur de la journée appartient à Cyrus.—25. Cambyse rappelle son fils auprès de lui. — 26. Générosité de Cyrus envers ses compagnons.—27. Preuve d'attachement donnée par un Mède à Cyrus.—28. Suite du même sujet.

CHAP. V. — 1. Cyrus se distingue dans la classe des jeunes gens, comme il s'était distingué dans celle des enfants.—2. Mort d'Astyage. Ambition du roi d'Assyrie. — 3. Ligue formée par le roi d'Assyrie contre les Mèdes et les Perses.— 4. Cyaxare sollicite l'alliance de Cambyse et les secours de Cyrus, alors admis dans la classe des hommes faits. — 5. Les chefs du conseil mettent à la disposition de Cyrus une nombreuse armée. — 6. Cyrus convoque ses généraux, qu'il vient de choisir parmi ses compagnons, et leur adresse un discours. — 7. Exorde par insinuation. Cyrus depuis longtemps connait ses compagnons. — 8. L'exercice de toute vertu doit avoir un but. — 9. L'orateur appuie cette pensée générale sur plusieurs exemples. — 10. Il compare ceux qui ne recueillent pas le fruit de leurs travaux au laboureur insensé qui sèmerait sans moissonner. — 11. L'occasion se présente de mettre en pratique tant de leçons de courage, de tempérance, etc., vertus que leurs ennemis ignorent parfaitement. — 12. Il loue leur constance à supporter la faim, la soif, la veille, et leur amour de la gloire. — 13. La justice de leur cause doit les encourager. — 14. Cyrus s'est rendu les dieux favorables, motif de courage plus puissant encore; il va, avant de partir, recourir aux conseils de son père.

CHAP. VI.—1. Cyrus fait précéder son départ de cérémonies religieuses. Présages favorables au moment où Cyrus sort du palais avec son père.—2. Dialogue de Cambyse et de Cyrus.—3. Cambyse rappelle à son fils, qu'instruit de la divination, il peut se passer de devins. — 3. Pour avoir le secours des dieux dans le malheur, il ne faut pas les avoir oubliés dans la prospérité. — 4. Suite du même sujet. — 5. Il ne faut demander aux dieux que les biens auxquels nous nous sommes

rendus propres par notre travail. — 6. Développement de cette vérité par des exemples.—7. Difficultés du commandement.—8. Fausse opinion du vulgaire sur la condition des rois.—9. Nécessité pour un général de pourvoir aux besoins de son armée. — 10. Celui qui a la force en main, doit tout avoir en abondance. Avantages de la prévoyance. — 11. Continuation du même sujet. — 12. Le maître de stratégie n'a point appris à Cyrus l'art d'entretenir dans l'armée l'abondance et la santé. — 13. Ni l'art de rendre les soldats habiles, soumis et courageux. — 14. La tactique est ce qu'il y a de moins important dans l'art militaire. — 15. Moyen d'entretenir la santé dans l'armée. — 16. Il vaut mieux prévenir les maladies qu'avoir à les guérir. — 17. Nécessité de ne laisser jamais les soldats dans l'oisiveté.—18. Utilité des récompenses militaires.—19. Un général ne doit jamais donner de fausses espérances à ses soldats; qu'il réserve toujours les grandes promesses pour les grands dangers. — 20. Pour commander, il faut avoir obéi. De l'obéissance qui s'obtient au moyen de punitions et de récompenses. — 21. Moyen d'obtenir des soldats une obéissance volontaire. — 22. Pour paraître sage et prudent, il faut l'être en effet. — 23. Comment on peut acquérir la prudence. — 24 La bienveillance ouvre le chemin des cœurs.—25. Le général doit donner l'exemple de la constance à supporter les fatigues et les privations. — 26. Il doit mettre de la prudence à attaquer l'ennemi. — 27. Contre lui tous les moyens sont bons, adresse, ruse, force, etc. — 28. Comparaison de la guerre avec la chasse. — 29. La chasse est l'apprentissage de la guerre.—30. Si la justice et l'injustice sont également utiles, pourquoi ne pas apprendre aux enfants l'une et l'autre? Réponse. — 31. Suite de la réponse. — 32. L'homme arrivé à un certain âge, peut apprendre sans danger les ruses de la guerre. — 33. Être soi-même en garde et surprendre l'ennemi. — 34. Moyens de surprendre l'ennemi. — 35. Autres moyens de tromper l'ennemi.—36. Le général doit sans cesse inventer de nouveaux stratagèmes.—37. Les ruses employées à la chasse pourraient suffire contre l'ennemi.—38. Continuation du même sujet. — 39. Aperçu rapide des points principaux de la tactique. — 40. Le général doit tous ses soins à ceux qu'il commande. — 41. Des différents artifices de la stratégie. — Conclusion : 42. En considération des erreurs de la sagesse humaine, on ne doit jamais rien entreprendre sans consulter les dieux. — 43. Infaillibilité de la sagesse divine.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

I. Ἔννοιά ποθ' ἡμῖν ἐγένετο [1], ὅσαι δημοκρατίαι κατελύθησαν ὑπὸ τῶν ἄλλως πως βουλομένων πολιτεύεσθαι μᾶλλον, ἢ ἐν δημοκρατίᾳ· ὅσαι τ' αὖ μοναρχίαι, ὅσαι τε ὀλιγαρχίαι ἀνῄρηνται ἤδη ὑπὸ δήμων· καὶ ὅσοι τυραννεῖν [2] ἐπιχειρήσαντες, οἱ μὲν αὐτῶν καὶ ταχὺ πάμπαν κατελύθησαν, οἱ δὲ, κἂν ὁποσονοῦν χρόνον ἄρχοντες διαγένωνται [3], θαυμάζονται, ὡς σοφοί τε καὶ εὐτυχεῖς ἄνδρες γεγενημένοι. Πολλοὺς δ' ἐδοκοῦμεν [4] καταμεμαθηκέναι καὶ ἐν ἰδίοις οἴκοις, τοὺς μὲν, ἔχοντας καὶ πλείονας [5] οἰκέτας, τοὺς δὲ, καὶ πάνυ ὀλίγους, καὶ ὅμως οὐδὲ τοῖς ὀλίγοις τούτοις πάνυ τι δυναμένους χρῆσθαι πειθομένοις τοὺς δεσπότας.

CHAPITRE PREMIER.

I. Je considérais un jour combien de républiques ont été renversées par des citoyens qui désiraient une autre sorte de gouvernement, combien de monarchies et d'oligarchies ont été détruites par la révolte des peuples; combien de particuliers ont péri en voulant s'élever à la souveraine puissance; et combien on admire la prudence et la bonne fortune de ceux qui s'y sont maintenus, ne fût-ce que peu de temps. J'observais en outre que dans les familles qui sont composées, les unes d'une grande multitude, les autres d'un très-petit nombre de domestiques, il se trouve des maîtres qui ne sauraient se faire obéir même de ce petit nombre.

XENOPHON.

LA CYROPÉDIE.

LIVRE PREMIER.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ι. Ἔννοια ἐγένετό ποτε ἡμῖν,
ὅσαι δημοκρατίαι
κατελύθησαν
ὑπὸ τῶν βουλομένων πολιτεύεσθαι
ἄλλως πως
μᾶλλον ἢ ἐν δημοκρατίᾳ·
αὖ τε
ὅσαι μοναρχίαι,
ὅσαι τε ὀλιγαρχίαι
ἀνῄρηνται ἤδη ὑπὸ δήμων·
καὶ ὅσοι ἐπιχειρήσαντες
τυραννεῖν,
οἱ μὲν αὐτῶν κατελύθησαν
καὶ πάμπαν ταχὺ,
οἱ δὲ, κἂν διαγένωνται
ἄρχοντες χρόνον ὁποσονοῦν,
θαυμάζονται, ὡς γεγενημένοι
ἄνδρες σοφοί τε καὶ εὐτυχεῖς.
Ἐδοκοῦμεν δὲ
καταμεμαθηκέναι πολλοὺς,
καὶ ἐν τοῖς οἴκοις ἰδίοις,
τοὺς μὲν, ἔχοντας καὶ
οἰκέτας πλείονας,
τοὺς δὲ, καὶ πάνυ ὀλίγους,
καὶ ὅμως τοὺς δεσπότας
δυναμένους πάνυ τι χρῆσθαι
οὐδὲ τούτοις τοῖς ὀλίγοις
πειθομένοις.

CHAPITRE I.

I. La réflexion naquit jadis à nous,
combien de républiques
ont été renversées
par ceux voulant être gouvernés
autrement de-quelque-manière
plutôt qu'en république;
et, d'un autre côté,
combien de monarchies
et combien d'oligarchies
ont été détruites déjà par des peuples;
et combien *d'hommes* ayant entrepris
de s'emparer du pouvoir,
les uns d'eux furent renversés
même tout-à-fait vite,
les autres, si-toutefois ils continuent
régnant un temps quelconque,
sont admirés, comme ayant été
des hommes et habiles et heureux.
Et nous pensions
avoir appris beaucoup *de gens*,
même dans les maisons privées,
les uns ayant même
des domestiques assez-nombreux,
les autres, même tout-à-fait peu,
et pourtant les maitres
ne pouvant du tout se servir
pas même de ces peu-nombreux
obéissant.

II. Ἔτι δὲ πρὸς τούτοις ἐνενοοῦμεν, ὅτι ἄρχοντες μὲν εἰσι καὶ οἱ βουκόλοι τῶν βοῶν, καὶ οἱ ἱπποφορβοὶ τῶν ἵππων. καὶ πάντες δὲ οἱ καλούμενοι νομεῖς, ὧν ἂν[1] ἐπιστατῶσι ζώων, εἰκότως ἂν[2] ἄρχοντες τούτων νομίζοιντο. Πάσας τοίνυν ταύτας τὰς ἀγέλας ἐδοκοῦμεν ὁρᾶν μᾶλλον ἐθελούσας πείθεσθαι τοῖς νομεῦσιν, ἢ τοὺς ἀνθρώπους τοῖς ἄρχουσι. Πορεύονταί τε γὰρ αἱ ἀγέλαι οἷ ἂν αὐτὰς εὐθύνωσιν οἱ νομεῖς, νέμονταί τε χωρία ἐφ ὁποῖα ἂν αὐτὰς ἐφιῶσιν, ἀπέχονταί τε ὧν[3] ἂν αὐτὰς ἀπείργωσι· καὶ τοῖς καρποῖς τοίνυν[4], τοῖς γιγνομένοις ἐξ αὐτῶν, ἐῶσι τοὺς νομέας χρῆσθαι οὕτως, ὅπως ἂν αὐτοὶ βούλωνται. Ἔτι τοίνυν οὐδεμίαν πώποτε ἀγέλην ᾐσθήμεθα[5] συστᾶσαν ἐπὶ τὸν νομέα, οὔτε ὡς μὴ πείθεσθαι, οὔτε ὡς μὴ ἐπιτρέπειν τῷ καρπῷ χρῆσθαι· ἀλλὰ καὶ χαλεπώτεραί εἰσιν αἱ ἀγέλαι πᾶσι τοῖς ἀλλοφύλοις, ἢ τοῖς ἄρχουσί τε αὐτῶν, καὶ ὠφελουμένοις ὑπ' αὐτῶν· ἄνθρωποι δὲ ἐπ' οὐδένας μᾶλλον συνίστανται ἢ ἐπὶ τούτους, οὓς ἂν αἴσθωνται ἄρχειν αὐτῶν ἐπιχειροῦντας.

II. D'un autre côté, quand je pensais qu'on peut très-bien dire que ceux qui ont le soin des animaux, leur commandent, comme les bouviers aux bœufs, les palefreniers aux chevaux, enfin tous les pasteurs à leurs troupeaux; je remarquais que tous les animaux en général obéissent plus volontiers à ceux qui les conduisent, que les hommes à ceux qui les gouvernent : car les troupeaux vont où les pasteurs les mènent, ils paissent aux endroits où ils les font arrêter, et ne touchent point à ceux qu'ils leur interdisent; ils ne disputent point à leur maître le revenu qu'ils rapportent, et on n'a point encore ouï parler d'un troupeau qui se soit soulevé contre son maître, ou pour ne lui point obéir, ou pour l'empêcher de jouir du profit qu'il peut lui rendre; bien plus, il n'y a personne à qui les animaux fassent moins de peine qu'à ceux qui ont coutume de les gouverner et d'en tirer profit; tandis que les hommes, au contraire, conspirent de préférence contre ceux qui entreprennent de leur commander.

II. Ἐνενοοῦμεν δὲ	II. Et nous considérions
ἔτι πρὸς τούτοις,	encore outre ces choses
ὅτι μὲν καὶ οἱ βουκόλοι	qu'à la vérité et les bouviers
εἰσὶν ἄρχοντες τῶν βοῶν,	sont *les* gouvernants des bœufs,
καὶ οἱ ἱπποφορβοὶ	et les nourrisseurs-de-chevaux
τῶν ἵππων,	des chevaux,
καὶ πάντες δὲ οἱ καλούμενοι νομεῖς	et de plus tous ceux nommés pasteurs
νομίζοιντο ἂν εἰκότως	pourraient être crus avec-raison
ἄρχοντες τούτων ζώων,	gouvernants de ces animaux,
ὧν ἂν ἐπιστατῶσι.	qu'ils surveillent.
Τοίνυν ἐδοκοῦμεν ὁρᾷν	Or nous pensions voir
πάσας ταύτας τὰς ἀγέλας ἐθελούσας	tous ces troupeaux voulant
πείθεσθαι τοῖς νομεῦσι μᾶλλον	obéir aux pasteurs plutôt
ἢ τοὺς ἀνθρώπους τοῖς ἄρχουσιν.	que les hommes aux gouvernants.
Αἱ γὰρ ἀγέλαι πορεύονταί τε	Car les troupeaux vont
οἱ ἂν οἱ νομεῖς εὐθύνωσιν αὐτάς,	partout où les pasteurs dirigent eux,
νέμονταί τε χωρία	et paissent *dans* les endroits
ἐπι ὁποῖα ἂν ἐφιῶσιν αὐτάς,	sur lesquels ils lâchent eux,
ἀπέχονταί τε	et s'abstiennent *de ceux*
ὧν ἂν ἀπείργωσιν αὐτάς·	desquels ils écartent eux;
καὶ τοίνυν ἐῶσι τοὺς νομέας	et même ils laissent les pasteurs
χρῆσθαι τοῖς καρποῖς,	se servir des fruits,
τοῖς γιγνομένοις ἐξ αὐτῶν,	ceux provenant d'eux,
οὕτως, ὅπως αὐτοὶ βούλωνται ἄν	ainsi qu'eux-mêmes ils veulent.
Τοίνυν ᾔσθήμεθα ἔτι πώποτε	Or nous n'avons vu encore jamais
οὐδεμίαν ἀγέλην συστᾶσαν	aucun troupeau s'étant révolté
ἐπὶ τὸν νομέα,	contre le pasteur,
οὔτε ὡς μὴ πείθεσθαι,	ni pour ne pas obéir,
οὔτε ὡς μὴ ἐπιτρέπειν	ni pour ne pas permettre
χρῆσθαι τῷ καρπῷ·	de se servir du fruit;
ἀλλὰ καὶ αἱ ἀγέλαι	mais de plus les troupeaux
εἰσὶ χαλεπώτεραι	sont plus méchants
πᾶσι τοῖς ἀλλοφύλοις,	à tous les étrangers
ἢ τοῖς ἄρχουσί τε αὐτῶν	qu'à ceux et gouvernant eux
καὶ ὠφελουμένοις ὑπὸ αὐτῶν·	et profitant d'eux;
ἄνθρωποι δὲ	les hommes, au contraire,
συνίστανται ἐπὶ οὐδένας	ne se révoltent contre personne
μᾶλλον ἢ ἐπὶ τούτους,	plutôt que contre ceux
οὓς αἴσθωνται ἂν	qu'ils auraient aperçus
ἐπιχειροῦντας ἄρχειν αὐτῶν.	entreprenant de gouverner eux.

III. Ὅτε μὲν δὴ ταῦτα ἐνεθυμούμεθα, οὕτως ἐγινώσκομεν περὶ αὐτῶν, ὡς ἀνθρώπῳ πεφυκότι πάντων τῶν ἄλλων ζώων εἴη ῥᾷον, ἢ ἀνθρώπων, ἄρχειν. Ἐπειδὴ δὲ ἐνενοήσαμεν ὅτι Κῦρος ἐγένετο Πέρσης, ὃς παμπόλλους μὲν ἀνθρώπους ἐκτήσατο πειθομένους αὐτῷ, παμπόλλας δὲ πόλεις, πάμπολλα δὲ ἔθνη, ἐκ τούτου δὴ ἠναγκαζόμεθα μετανοεῖν [1], μὴ [2] οὔτε τῶν ἀδυνάτων, οὔτε τῶν χαλεπῶν ἔργων [3] ἧ τὸ ἀνθρώπων ἄρχειν, ἤν τις ἐπισταμένως τοῦτο πράττῃ. Κύρῳ γοῦν ἴσμεν ἑθελήσαντας πείθεσθαι, τοὺς μὲν, ἀπέχοντας παμπόλλων ἡμερῶν ὁδὸν [4], τοὺς δὲ, καὶ μηνῶν, τοὺς δὲ, οὐδ' ἑωρακότας πώποτε αὐτὸν, τοὺς δὲ, καὶ εὖ εἰδότας ὅτι οὐδ' ἂν ἴδοιεν· καὶ ὅμως ἤθελον αὐτῷ ὑπακούειν.

IV. Καὶ γάρ τοι τοσοῦτον διήνεγκε τῶν ἄλλων βασιλεων, καὶ τῶν πατρίους ἀρχὰς παρειληφότων, καὶ τῶν δι' ἑαυτῶν κτησαμένων, ὥστε ὁ μὲν Σκύθης [5], καίπερ παμπόλλων ὄντων Σκυθῶν, ἄλλου μὲν οὐδενὸς δύναιτ' ἂν ἔθνους ἐπάρξαι [6], ἀγαπῶν

III. D'après ces réflexions, je concluais qu'il n'y a point d'animal plus difficile à gouverner que l'homme. Mais ensuite, quand je me représentai le Perse Cyrus qui s'est fait obéir par tant et tant de millions d'hommes, et qui a tenu sous son empire tant de villes et tant de nations différentes, je fus contraint de changer d'avis et de reconnaître qu'il n'est point impossible, ni même fort difficile de commander aux hommes, quand on s'y prend avec adresse. En effet, on a vu les peuples les plus éloignés se venir eux-mêmes offrir à Cyrus, bien que la plupart ne l'eussent jamais vu, et que d'autres fussent assurés de ne jamais le voir. Ils n'en voulaient pas moins être du nombre de ses sujets.

IV Aussi n'y a-t-il point de prince héréditaire, ni de conquérant, qui puisse entrer en comparaison avec lui. Car le roi des Scythes, bien qu'il possède un très-vaste pays, loin de pouvoir commander à ses voisins, se trouverait seulement assez heureux de demeurer pai-

III. Ὅτε μὲν δὴ ἐνεθυμούμεθα ταῦτα,
ἐγινώσκομεν οὕτως περὶ αὐτῶν,
ὡς εἴη ῥᾷον
πεφυκότι ἀνθρώπῳ
ἄρχειν πάντων τῶν ἄλλων ζώων
ἢ ἀνθρώπων.
Ἐπειδὴ δὲ ἐνενοήσαμεν
ὅτι Πέρσης Κῦρος ἐγένετο,
ὃς μὲν ἐκτήσατο
παμπόλλους ἀνθρώπους
πειθομένους αὐτῷ,
παμπόλλας δὲ πόλεις,
πάμπολλα δὲ ἔθνη,
ἠναγκαζόμεθα δὴ ἐκ τούτου
μετανοεῖν,
μὴ τὸ ἄρχειν ἀνθρώπων ᾖ
οὔτε τῶν ἔργων ἀδυνάτων,
οὔτε τῶν χαλεπῶν,
ἤν τις πράττῃ τοῦτο ἐπισταμένως.
Ἴσμεν γοῦν
ἐθελήσαντας πείθεσθαι Κύρῳ,
τοὺς μὲν, ἀπέχοντας ὁδὸν
παμπόλλων ἡμερῶν,
τοὺς δὲ, καὶ μηνῶν,
τοὺς δὲ, οὐδὲ ἑωρακότας
πώποτε αὐτὸν,
τοὺς δὲ, καὶ εἰδότας εὖ
ὅτι οὐδὲ ἴδοιεν ἄν·
καὶ ἤθελον ὅμως ὑπακούειν αὐτῷ.

IV. Καὶ γάρ τοι διήνεγκε τοσοῦτον
τῶν ἄλλων βασιλέων,
καὶ τῶν παρειληφότων
ἀρχὰς πατρίους,
καὶ τῶν κτησαμένων
διὰ ἑαυτῶν, ὥστε μὲν ὁ Σκύθης
δύναιτο ἂν μὲν ἐπάρξαι
οὐδενὸς ἄλλου ἔθνους,
καίπερ Σκυθῶν
ὄντων παμπόλλων,

III. Or donc lorsque nous méditions
ces choses,
nous reconnaissions ainsi sur elles,
qu'il est plus facile
à *quelqu'un* né homme
de gouverner tous les autres animaux
que des hommes.
Mais après que nous eûmes considéré
qu'un Perse, Cyrus, a existé,
qui d'un côté posséda
de très-nombreux hommes
obéissant à lui,
de l'autre, de très-nombreuses villes
et de très-nombreuses nations,
nous étions contraints alors par cela
de reconnaître en changeant d'avis,
que le gouverner des hommes n'est pas
une ni des entreprises impossibles
ni des difficiles,
si quelqu'un fait cela avec intelligence.
Or nous savons *des hommes*
ayant voulu obéir à Cyrus,
les uns éloignés *par* une route
de beaucoup de journées,
les autres, même de mois,
d'autres même n'ayant vu
jamais lui,
d'autres même sachant bien
qu'ils ne *le* verraient pas;
et ils voulaient pourtant obéir à lui.

IV. Et en effet il se distingua tant
des autres rois,
et de ceux ayant reçu
des empires paternels,
et de ceux *en* ayant acquis
par eux-mêmes, que d'un côté le Scythe
ne pourrait se-rendre-maître
d'aucune autre nation,
quoique les Scythes
étant très-nombreux,

δ' ἂν, εἰ τοῦ ἑαυτοῦ ἔθνους ἄρχων διαγένοιτο· καὶ ὁ Θρᾷξ Θρακῶν, καὶ ὁ Ἰλλυριὸς Ἰλλυριῶν· καὶ τἄλλα δὲ ἔθνη ὡσαύτως ὅσα ἀκούομεν· τὰ γοῦν ἐν τῇ Εὐρώπῃ ἔτι καὶ νῦν αὐτόνομα εἶναι λέγεται, καὶ λελύσθαι ἀπ' ἀλλήλων. Κῦρος δὲ, παραλαβὼν ὡσαύτως οὕτω καὶ τὰ ἐν τῇ Ἀσίᾳ ἔθνη αὐτόνομα ὄντα, ὁρμηθεὶς σὺν ὀλίγῃ Περσῶν στρατιᾷ, ἑκόντων μὲν ἡγήσατο[1] Μήδων, ἑκόντων δὲ Ὑρκανίων· κατεστρέψατο δὲ Σύρους, Ἀσσυρίους, Ἀραβίους[2], Καππαδόκας, Φρύγας ἀμφοτέρους[3], Λυδοὺς, Κᾶρας, Φοίνικας, Βαβυλωνίους· ἦρξε δὲ καὶ Βακτρίων καὶ Ἰνδῶν[4] καὶ Κιλίκων· ὡσαύτως δὲ Σακῶν καὶ Παφλαγόνων, καὶ Μαριανδυνῶν, καὶ ἄλλων δὲ παμπόλλων ἐθνῶν, ὧν οὐδ' ἂν τὰ ὀνόματα ἔχοι[5] τις εἰπεῖν. Ἐπῆρξε δὲ καὶ Ἑλλήνων τῶν ἐν τῇ Ἀσίᾳ· καταβὰς δὲ ἐπὶ θάλατταν, καὶ Κυπρίων καὶ Αἰγυπτίων.

sible souverain de sa nation. Il en est de même du roi de Thrace, du roi d'Illyrie, et de tous les autres princes. De là vient qu'il y a encore en Europe tant d'États qui se gouvernent chacun selon ses propres lois, et qui sont indépendants les uns des autres. Cyrus vint dans un temps où l'Asie était partagée de la même manière; mais, s'étant mis en campagne avec une petite armée de Perses, il attira d'abord à son parti les Mèdes et les Hyrcaniens, et subjugua ensuite les Syriens, les Assyriens, les Arabes, les peuples de la Cappadoce, ceux de l'une et de l'autre Phrygie, les Lydiens, les Cariens, les Phéniciens, les Babyloniens. Il se rendit maître de la Bactriane, des Indes, de la Cilicie, du pays des Saques, des Paphlagoniens, et des Mariandyns, et d'un nombre infini d'autres provinces dont les noms sont à peine connus. Il assujettit encore les Grecs habitans de l'Asie; et descendant vers la mer, il conquit l'île de Chypre et l'Égypte.

ἀγαπῴη δὲ ἄν,
εἰ διαγένοιτο
ἄρχων τοῦ ἔθνους ἑαυτοῦ·
καὶ ὁ Θρᾷξ Θρᾳκῶν,
καὶ ὁ Ἰλλυριὸς Ἰλλυριῶν·
καὶ τὰ ἄλλα δὲ ἔθνη,
ὅσα ἀκούομεν, ὡσαύτως.
Τὰ γοῦν ἐν τῇ Εὐρώπῃ λέγεται
εἶναι αὐτόνομα
καὶ ἔτι νῦν,
καὶ λελύσθαι ἀπὸ ἀλλήλων.
Κῦρος δὲ, παραλαβὼν
καὶ τὰ ἔθνη ἐν τῇ Ἀσίᾳ
ὄντα αὐτόνομα
ὡσαύτως οὕτως,
ὁρμηθεὶς
σὺν ὀλίγῃ στρατιᾷ Περσῶν,
ἡγήσατο μὲν
Μήδων ἑκόντων,
Ὑρκανίων δὲ ἑκόντων·
κατεστρέψατο δὲ Σύρους
Ἀσσυρίους, Ἀραβίους,
Καππαδόκας,
Φρύγας ἀμφοτέρους,
Λυδοὺς, Κᾶρας,
Φοίνικας, Βαβυλωνίους.
ἦρξε δὲ καὶ Βακτρίων
καὶ Ἰνδῶν καὶ Κιλίκων·
ὡσαύτως δὲ Σακῶν
καὶ Παφλαγόνων,
καὶ Μαριανδυνῶν,
καὶ ἄλλων δὲ ἐθνῶν
παμπόλλων,
ὧν τις ἔχοι ἂν οὐδὲ
εἰπεῖν τὰ ὀνόματα.
Ἐπῆρξε δὲ καὶ Ἑλλήνων,
τῶν ἐν τῇ Ἀσίᾳ·
καταβὰς δὲ ἐπὶ θάλατταν,
καὶ Κυπρίων
καὶ Αἰγυπτίων

mais serait content,
s'il continuait
gouvernant la nation de lui;
et le Thrace des Thraces,
et l'Illyrien des Illyriens;
et enfin les autres nations,
autant que nous apprenons, de même
Aussi celles dans l'Europe sont dites
être indépendantes
même encore à présent,
et être détachées les unes des autres.
Mais Cyrus, ayant trouvé
aussi les nations dans l'Asie
étant indépendantes
de même ainsi,
s'étant élancé
avec une petite armée de Perses,
d'abord se mit à la tête
des Mèdes volontaires
et des Hyrcaniens volontaires,
puis subjugua les Syriens,
les Assyriens, les Arabes,
les Cappadociens,
les Phrygiens les uns et les autres,
les Lydiens, les Cariens,
les Phéniciens, les Babyloniens;
et devint maître et des Bactriens
et des Indiens et des Ciliciens,
et de même des Saques
et des Paphlagoniens
et des Mariandyns,
et encore d'autres nations
très-nombreuses,
dont quelqu'un ne saurait pas même
dire les noms.
De plus il gouverna aussi les Grecs,
ceux dans l'Asie;
et descendu vers la mer,
et les Cypriens
et les Egyptiens.

V. Καὶ τοίνυν τῶν ἐθνῶν τούτων ἦρξεν, οὔθ' ἑαυτῷ ὁμογλώττων ὄντων, οὔτε ἀλλήλοις· καὶ ὅμως ἡδυνήθη[1] ἐφικέσθαι μὲν ἐπὶ τοσαύτην γῆν τῷ ἀφ' ἑαυτοῦ φόβῳ[2], ὥστε καταπλῆξαι πάντας, καὶ μηδένα ἐπιχειρεῖν αὐτῷ· ἡδυνήθη δὲ ἐπιθυμίαν ἐμβαλεῖν τοσαύτην τοῦ πάντας αὐτῷ χαρίζεσθαι[3], ὥστε ἀεὶ τῇ αὐτοῦ γνώμῃ ἀξιοῦν κυβερνᾶσθαι. Ἀνηρτήσατο δὲ τοσαῦτα φῦλα, ὅσα καὶ διελθεῖν[4] ἔργον ἐστίν, ὅποι ἂν ἄρξηταί τις πορεύεσθαι ἀπὸ τῶν βασιλείων, ἤν τε πρὸς ἕω, ἤν τε προς ἑσπέραν, ἤν τε πρὸς ἄρκτον[5], ἤν τε πρὸς μεσημβρίαν. Ἡμεῖς μὲν δή, ὡς ἄξιον ὄντα θαυμάζεσθαι, τοῦτον τὸν ἄνδρα[6] ἐσκεψάμεθα, τίς ποτε ὢν γενεὰν, καὶ ποίαν τινὰ[7] φύσιν ἔχων, καὶ ποίᾳ τινὶ παιδείᾳ παιδευθεὶς, τοσοῦτον διήνεγκεν εἰς[8] τὸ ἄρχειν ἀνθρώπων. Ὅσα οὖν καὶ ἐπυθόμεθα καὶ ᾐσθῆσθαι δοκοῦμεν περὶ αὐτοῦ, ταῦτα πειρασόμεθα διηγήσασθαι.

V. Lui seul a gouverné tous ces peuples, bien qu'ils n'entendissent point son langage, et qu'eux-mêmes ne s'entendissent pas entre eux. La seule crainte de son nom a fait ployer tout le monde sous sa loi, sans que personne ait jamais rien osé entreprendre contre son autorité. Mais, en même temps, il sut si bien se rendre maître des cœurs, que chacun s'efforçait de lui plaire, se croyait heureux de dépendre de lui. C'est pourquoi il a pu réunir sous un même empire un si grand nombre de provinces, qu'en partant de la capitale, on aurait peine de les parcourir toutes, soit qu'on allât vers l'Orient ou vers le Couchant, vers le Septentrion ou vers le Midi. Comme ce grand homme m'a toujours paru digne d'admiration, j'ai pris plaisir à faire des recherches sur sa naissance, sur son naturel et sur son éducation, pour connaître par quels moyens il a pu acquérir cette supériorité dans l'art de gouverner; et je me hasarderai maintenant de rapporter ce que j'en ai pu trouver ou apprendre.

V. Καὶ τοίνυν ἦρξε
τούτων τῶν ἐθνῶν
ὄντων ὁμογλώττων
οὔτε ἑαυτῷ, οὔτε ἀλλήλοις·
καὶ ἠδυνήθη ὅμως μὲν ἐφικέσθαι
ἐπὶ γῆν τοσαύτην
τῷ φόβῳ ἀπὸ ἑαυτοῦ,
ὥστε καταπλῆξαι πάντας,
καὶ μηδένα ἐπιχειρεῖν αὐτῷ·
ἠδυνήθη δὲ ἐμβαλεῖν
τοσαύτην ἐπιθυμίαν
τοῦ πάντας χαρίζεσθαι αὐτῷ,
ὥστε ἀξιοῦν
κυβερνᾶσθαι ἀεὶ
τῇ γνώμῃ αὐτοῦ.
Ἀνηρτήσατο δὲ τοσαῦτα φῦλα,
ὅσα διελθεῖν καὶ
ἐστὶν ἔργον,
ὅποι τις
ἄρξηται ἂν πορεύεσθαι
ἀπὸ τῶν βασιλείων,
ἤν τε πρὸς ἕω,
ἤν τε πρὸς ἑσπέραν,
ἤν τε πρὸς ἄρκτον,
ἤν τε πρὸς μεσημβρίαν.
Ἡμεῖς μὲν δὴ ἐσκεψάμεθα
τοῦτον τὸν ἄνδρα,
ὡς ὄντα ἄξιον
θαυμάζεσθαι,
τίς ὢν ποτε γενεᾶν,
καὶ ἔχων ποίαν τινὰ φύσιν,
καὶ παιδευθεὶς
ποίᾳ τινὶ παιδείᾳ,
διήνεγκε τοσοῦτον
εἰς τὸ ἄρχειν ἀνθρώπων.
Πειρασόμεθα οὖν
διηγήσασθαι ταῦτα,
ὅσα καὶ ἐπυθόμεθα
καὶ δοκοῦμεν
ἰσθῆσθαι περὶ αὐτοῦ.

V. Et cependant il gouverna
ces nations
n'étant de la même langue
ni avec lui, ni entre elles;
et il put pourtant d'un côté parvenir
à une terre si grande
par la crainte de lui,
au point d'effrayer tous,
et personne ne s'attaquer à lui;
il put de l'autre côté inspirer
un si grand désir
du tous faire (que tous fissent) plaisir
au-point-de désirer [à lui,
être gouvernés toujours
par l'avis de lui.
Aussi il s'attacha tant de nations,
que *les* parcourir seulement
est un travail
de-quelque-côté-que quelqu'un
commence à partir
de la résidence-royale,
ou vers le matin
ou vers le soir,
ou vers l'ourse,
ou vers le midi.
En effet donc nous avons considéré
cet homme,
comme étant digne
d'être admiré,
quel étant donc de famille,
et ayant quel naturel,
et élevé
de quelle éducation,
il se distingua tant
pour gouverner les hommes.
Nous tâcherons donc
de raconter ces choses,
autant que nous et avons apprises
et pensons
avoir découvertes sur lui.

ΚΕΦΑΛΑΙΟΝ Β'.

I. Πατρὸς μὲν δὴ λέγεται ὁ Κῦρος γενέσθαι Καμβύσεω[1], Περσῶν βασιλέως (ὁ δὲ Καμβύσης οὗτος τοῦ Περσειδῶν γένους ἦν· οἱ δὲ Περσεῖδαι ἀπὸ Περσέως[2] κληΐζονται)· μητρὸς δὲ ὁμολογεῖται Μανδάνης γενέσθαι· ἡ δὲ Μανδάνη αὕτη Ἀστυάγους ἦν θυγάτηρ, τοῦ Μήδων γενομένου βασιλέως. Φῦναι δὲ ὁ Κῦρος λέγεται, καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων, εἶδος[3] μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος, καὶ φιλομαθέστατος, καὶ φιλοτιμότατος, ὥστε πάντα μὲν πόνον ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι, τοῦ ἐπαινεῖσθαι ἕνεκα.

II. Φύσιν μὲν δὴ τῆς ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται· ἐπαιδεύθη γε μὴν ἐν Περσῶν νόμοις. Οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελούμενοι[4] οὐχ ὅθενπερ ταῖς πλείσταις πόλεσιν ἄρχονται. Αἱ μὲν γὰρ πλεῖσται πόλεις, ἀφεῖσαι παιδεύειν, ὅπως τις ἐθέλει, τοὺς ἑαυτῶν[5]

CHAPITRE II.

I. Le père de Cyrus était roi de Perse, et s'appelait Cambyse : il était de la maison des Perséides, qui tirait son origine de Persée. Sa mère, nommée Mandane, était fille d'Astyage, roi des Mèdes. C'est l'opinion commune de ces nations, conservée jusqu'à nos jours dans leurs traditions et leurs chansons, que Cyrus était fort beau de corps, et d'une âme très-sensible, et qu'il aimait tant les études et l'honneur, qu'il ne s'est jamais effrayé d'aucun péril, ni rebuté d'aucun travail quand il s'agissait de mériter des louanges.

II. Voilà ce que l'on rapporte sur ses qualités physiques et morales. Il fut élevé dans sa jeunesse suivant les coutumes des Perses, lesquelles semblent s'occuper dès le commencement de l'utilité publique, en quoi elles diffèrent des coutumes de la plupart des peuples : car les autres républiques laissent aux particuliers la libre disposition de leurs enfants, et permettent aux enfants d'un âge plus avancé de

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ι. Ὁ μὲν δὴ Κῦρος λέγεται
γενέσθαι πατρὸς Καμβύσεω,
βασιλέως Περσῶν
(οὗτος δὲ ὁ Καμβύσης
ἦν τοῦ γένους Περσειδῶν·
οἱ δὲ Περσεῖδαι
κληΐζονται ἀπὸ Περσέως)·
ὁμολογεῖται δὲ
γενέσθαι μητρὸς Μανδάνης·
αὕτη δὲ ἡ Μανδάνη
ἦν θυγάτηρ Ἀστυάγους,
τοῦ γενομένου βασιλέως Μήδων
Ὁ δὲ Κῦρος λέγεται καὶ ἄδεται
καὶ ἔτι νῦν
ὑπὸ τῶν βαρβάρων,
φῦναι
κάλλιστος μὲν εἶδος,
φιλανθρωπότατος δὲ ψυχὴν,
καὶ φιλομαθέστατος,
καὶ φιλοτιμότατος,
ὥστε ἀνατλῆναι μὲν
πάντα πόνον,
ὑπομεῖναι δὲ πάντα κίνδυνον,
ἕνεκα τοῦ ἐπαινεῖσθαι.

ΙΙ. Διαμνημονεύεται μὲν δὴ ἔχων
τοιαύτην φύσιν τῆς ψυχῆς
καὶ τῆς μορφῆς·
ἐπαιδεύθη γε μὴν
ἐν νόμοις Περσῶν.
Οὗτοι δὲ οἱ νόμοι δοκοῦσιν
ἄρχεσθαι ἐπιμελούμενοι
τοῦ ἀγαθοῦ κοινοῦ,
οὐχ ὅθενπερ ἄρχονται
ταῖς πλείσταις πόλεσιν.
Αἱ μὲν γὰρ πλεῖσται πόλεις
ἀφεῖσαι παιδεύειν
τοὺς παῖδας ἑαυτῶν,
ὅπως τις ἐθέλει,

CHAPITRE II.

I. D'un côté donc Cyrus est dit
être né d'un père Cambyse,
roi des Perses
(mais ce Cambyse
était de la race des Perséides;
et les Perséides
sont appelés de Persée);
de l'autre côté il est reconnu
être né d'une mère Mandane;
mais cette Mandane
était fille d'Astyage,
celui ayant été roi des Mèdes.
Mais Cyrus est dit et est chanté
même encore maintenant
par les barbares,
avoir été naturellement
d'un côté très-beau de figure,
de l'autre très-humain de caractère
et très-ami de l'étude,
et très-ami de la gloire,
au point d'endurer d'un côté
toute fatigue,
de supporter de l'autre tout danger
pour être loué.

II. Or donc il est mentionné ayant
une telle nature de l'âme
et de l'extérieur;
de plus il fut élevé
dans *les* lois des Perses.
Or ces lois paraissent
commencer s'occupant
du bien public,
non d'où elles commencent
aux plus nombreux états.
Car à la vérité la plupart des états
laissant élever
les enfants d'eux,
comme quelqu'un (chacun) veut,

παῖδας, καὶ αὐτοὺς τοὺς πρεσβυτέρους ὅπως ἐθέλουσι διάγειν, ἐπιτάττουσιν αὐτοῖς μὴ κλέπτειν, μὴ ἁρπάζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι, μὴ παίειν ὃν μὴ δίκαιον, μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἆλλα τὰ τοιαῦτα ὡσαύτως· ἢν δέ τις τούτων τι παραβαίνῃ, ζημίαν αὐτοῖς ἐπέθεσαν[1]

III. Οἱ δὲ Περσικοὶ νόμοι προλαβόντες ἐπιμέλονται ὅπως τὴν ἀρχὴν μὴ τοιοῦτοι ἔσονται[2] οἱ πολῖται, οἷοι πονηροῦ τινος ἔργου ἢ αἰσχροῦ ἐφίεσθαι[3]. Ἐπιμέλονται δὲ ὧδε· ἔστιν αὐτοῖς ἐλευθέρα ἀγορὰ καλουμένη, ἔνθα τά τε βασίλεια καὶ τὰ ἄλλα ἀργεῖα πεποίηται. Ἐντεῦθεν τὰ μὲν ὤνια, καὶ οἱ ἀγοραῖοι, καὶ αἱ τούτων φωναὶ καὶ ἀπειροκαλίαι ἀπελήλανται[4] εἰς ἄλλον τόπον, ὡς μὴ μιγνύηται ἡ τούτων τύρβη τῇ τῶν πεπαιδευμένων εὐκοσμίᾳ.

IV. Διῄρηται δὲ αὕτη ἡ ἀγορὰ, ἡ περὶ τὰ ἀργεῖα, εἰς τεττα ρα μέρη· τούτων δ' ἔστιν ἓν μὲν παισὶν, ἓν δὲ ἐφήβοις, ἄλλο

vivre comme bon leur semble. Elles se contentent de leur défendre de dérober, d'usurper le bien d'autrui, de forcer les maisons, de frapper injustement, de désobéir aux magistrats, et elles ordonnent des peines pour ceux qui violent ces défenses.

III. Mais les lois des Perses vont au-devant du mal, et pourvoient à ce que les citoyens ne soient jamais dès le principe portés à une action mauvaise ou honteuse. Voici comment. Il y a chez les Perses une place nommée Éleuthère sur laquelle sont bâtis de côté et d'autre le palais du roi et les autres édifices du gouvernement. Ce n'est point là que se tient le marché; il est relégué ailleurs, afin que les clameurs et les manières indécentes des marchands n'altèrent point l'ordre et la tranquillité des exercices des gens bien élevés.

IV. Cette place est divisée en quatre parties. L'une est destinée pour les enfants, l'autre pour les adolescents, la troisième pour les hom-

καὶ τοὺς πρεσβυτέρους αὐτοὺς
διάγειν ὅπως ἐθέλουσιν,
ἐπιτάττουσιν αὐτοῖς
μὴ κλέπτειν, μὴ ἁρπάζειν,
μὴ παριέναι βίᾳ
εἰς οἰκίαν,
μὴ παίειν
ὃν μὴ δίκαιον,
μὴ ἀπειθεῖν ἄρχοντι,
καὶ τὰ ἄλλα τὰ τοιαῦτα
ὡσαύτως·
ἢν δέ τις παραβαίνῃ
τί τούτων,
ἐπέθεσαν ζημίαν αὐτοῖς.

III. Οἱ δὲ νόμοι Περσικοὶ
προλαβόντες ἐπιμέλονται
ὅπως οἱ πολῖται
μὴ ἔσονται τὴν ἀρχὴν
τοιοῦτοι οἷοι ἐφίεσθαι τινὸς ἔργου
πονηροῦ ἢ αἰσχροῦ.
Ἐπιμέλονται δὲ ὧδε·
ἀγορὰ καλουμένη ἐλευθέρα
ἐστὶν αὐτοῖς, ἔνθα τε τὰ βασίλεια
καὶ τὰ ἄλλα ἀρχεῖα
πεποίηται.
Τὰ μὲν ὤνια, καὶ οἱ ἀγοραῖοι,
καὶ αἱ φωναὶ καὶ ἀπειροκαλίαι
τούτων
ἀπελήλανται ἐντεῦθεν
εἰς ἄλλον τόπον,
ὡς ἡ τύρβη τούτων
μὴ μιγνύηται
τῇ εὐκοσμίᾳ τῶν πεπαιδευμένων.

IV. Αὕτη δὲ ἡ ἀγορὰ,
ἡ περὶ τὰ ἀρχεῖα,
διῄρηται εἰς τέτταρα μέρη·
ἓν μὲν δὲ τούτων
ἐστὶ παισὶν,
ἓν δὲ ἐφήβοις,
ἄλλο ἀνδράσι τελείοις,

et les plus âgés eux-mêmes
se conduire comme ils veulent,
ordonnent à eux
de ne pas voler, de ne pas brigande
de ne pas s'introduire de force
dans une maison,
de ne pas frapper
celui qu'*il* n'*est* pas juste *de frapper*
de ne pas désobéir à un chef,
et les autres choses, les semblables
également;
mais si quelqu'un transgresse
quelqu'une de ces choses,
ils imposent une punition à eux.

III. Mais les lois perses,
ayant prévenu, font-attention
de quelle manière les citoyens
ne seront pas *dès* le commencement
tels que (capables de) désirer quelque
mauvaise ou honteuse. [action
Et elles *y* pourvoient ainsi :
une place, appelée Éleuthère
est à eux, où et les palais du roi
et les autres édifices-du-gouvernement
ont été faits.
Or les marchandises et les marchands
et les cris et les indécences
de ceux-ci
ont été relégués de-là
dans un autre lieu,
afin que le tumulte de ceux-ci
ne soit pas mêlé
à la décence des *hommes* instruits.

IV Et cette place
celle autour des édifices publics,
est divisée en quatre parties;
et d'abord une de celles-ci
est aux enfants,
puis une aux adolescents,
une autre aux hommes faits,

τελείοις ἀνδράσιν, ἄλλο τοῖς ὑπὲρ τὰ στρατεύσιμα ἔτη γεγονόσι Νόμῳ δὲ εἰς τὰς ἑαυτῶν χώρας ἕκαστοι τούτων πάρεισιν, οἱ μὲν παῖδες, ἅμα τῇ ἡμέρᾳ, καὶ οἱ τέλειοι ἄνδρες· οἱ δὲ γεραίτεροι, ἡνίκ' ἂν ἑκάστῳ προχωρῇ, πλὴν [1] ἐν ταῖς τεταγμέναις ἡμέραις, ἐν αἷς δεῖ αὐτοὺς παρεῖναι. Οἱ δὲ ἔφηβοι καὶ κοιμῶνται περὶ τὰ ἀρχεῖα σὺν τοῖς γυμνητικοῖς ὅπλοις, πλὴν τῶν γεγαμηκότων· οὗτοι δὲ οὔτε ἐπιζητοῦνται, ἢν μὴ προρρηθῇ [2] παρεῖναι, οὔτε πολλάκις ἀπεῖναι καλόν.

V. Ἄρχοντες δ' ἐφ' ἑκάστῳ τούτων τῶν μερῶν εἰσι δώδεκα· (δώδεκα γὰρ καὶ Περσῶν φυλαὶ διῄρηνται [3].) καὶ ἐπὶ μὲν τοῖς παισὶν ἐκ τῶν γεραιτέρων ἡρημένοι εἰσὶν, οἳ ἂν [4] δοκῶσι τοὺς παῖδας βελτίστους ἀποδεικνύναι· ἐπὶ δὲ τοῖς ἐφήβοις, ἐκ τῶν τελείων ἀνδρῶν, οἳ ἂν αὖ τοὺς ἐφήβους βελτίστους δοκῶσι παρέχειν· ἐπὶ δὲ τοῖς τελείοις ἀνδράσιν, οἳ ἂν δοκῶσι παρέχειν αὐτοὺς μάλιστα τὰ τεταγμένα ποιοῦντας, καὶ τὰ παραγγελλό-

mes faits, la dernière pour les vieillards qui sont hors d'âge de porter les armes. La loi veut que chacun se trouve dans son quartier tous les jours; à savoir, les enfants et les hommes dès la pointe du jour, les vieillards quand leur commodité le permet, à l'exception de certains jours, où ils sont obligés de se rendre avec les autres à l'heure prescrite. Quant aux adolescents, ils doivent coucher toutes les nuits autour des édifices publics, avec leurs armes, excepté ceux qui sont mariés, lesquels en sont dispensés s'ils n'ont un ordre particulier, mais il est honteux d'être souvent absent.

V. Chacune de ces quatre classes a douze chefs, suivant le nombre des douze tribus qui composent toute la république des Perses. Les enfants sont gouvernés par douze vieillards, qui sont élus de tout leur corps, comme les plus capables de bien instruire la jeunesse. Les adolescents sont gouvernés par les douze hommes d'âge mûr auxquels on suppose le plus de talent pour les rendre meilleurs. Les hommes sont gouvernés par ceux d'entre eux qui ont la réputation de conduire le mieux les autres, et de les rendre plus obéissants aux or-

ἄλλο τοῖς γεγονόσιν
ὑπὲρ τὰ ἔτη
στρατεύσιμα.
Ἕκαστοι δὲ τούτων πάρεισιν
νόμῳ
εἰς τὰς χώρας ἑαυτῶν,
οἱ μὲν παῖδες
καὶ οἱ ἄνδρες τέλειοι
ἅμα τῇ ἡμέρᾳ·
οἱ δὲ γεραίτεροι,
ἡνίκα προχωρῇ ἂν ἑκάστῳ,
πλὴν ἐν ταῖς ἡμέραις τεταγμέναις,
ἐν αἷς δεῖ αὐτοὺς παρεῖναι.
Οἱ δὲ ἔφηβοι κοιμῶνται καὶ
περὶ τὰ ἀρχεῖα,
σὺν τοῖς ὅπλοις γυμνητικοῖς,
πλὴν τῶν γεγαμηκότων
οὗτοι δὲ οὔτε ἐπιζητοῦνται,
ἢν μὴ προῤῥηθῇ
παρεῖναι, οὔτε καλὸν
ἀπεῖναι πολλάκις.

V. Δώδεκα δὲ ἄρχοντες εἰσὶν
ἐπὶ ἑκάστῳ τούτων τῶν μερῶν·
(φυλαὶ γὰρ Περσῶν
διῄρηνται καὶ δώδεκα·)
καί εἰσιν ἠρημένοι
ἐπὶ μὲν τοῖς παισὶν
ἐκ τῶν γεραιτέρων,
οἳ δοκῶσιν ἂν ἀποδεικνύναι
τοὺς παῖδας βελτίστους·
ἐπὶ δὲ τοῖς ἐφήβοις
ἐκ τῶν ἀνδρῶν τελείων,
οἳ δοκῶσιν ἂν αὖ
παρέχειν τοὺς ἐφήβους
βελτίστους·
ἐπι δὲ τοῖς ἀνδράσι τελείοις
οἳ δοκῶσιν ἂν παρέχειν αὐτοὺς
ποιοῦντας μάλιστα
τὰ τεταγμένα
καὶ τὰ παραγγελλόμενα

une autre à ceux devenus
au-dessus des années
propres à la milice.
Et chacuns de ceux-ci se présentent
d'après une loi
dans les quartiers d'eux,
d'un côté les enfants
et les hommes faits
avec le jour;
de l'autre les vieillards
lorsqu'il serait-commode à chacun,
excepté dans les jours fixés,
dans lesquels il faut eux se présenter.
Mais les adolescents couchent même
autour des édifices-publics,
avec les armes d'exercice;
à l'exception de ceux mariés;
et ceux-ci ni ne sont demandés
s'il n'a pas été dit-d'avance
de se présenter, ni *il* n'*est* décent
de s'absenter souvent.

V. Or douze chefs sont
sur chacune de ces parties;
(car les tribus des Perses
sont divisées aussi *en* douze);
et ils sont choisis
d'un côté pour les enfants
parmi les vieillards,
ceux qui paraîtraient rendre
les enfants les meilleurs:
d'un autre côté pour les adolescents
parmi les hommes faits,
ceux qui paraîtraient encore
rendre les adolescents
les meilleurs;
et pour les hommes faits
ceux qui paraîtraient rendre eux
faisant au mieux
les choses prescrites
et les choses ordonnées

μενα ὑπὸ τῆς μεγίστης ἀρχῆς· εἰσὶ δὲ καὶ τῶν γεραιτέρων προστάται ἡρημένοι, οἳ προστατεύουσιν, ὅπως καὶ οὗτοι τὰ καθήκοντα ἀποτελῶσιν.

VI. Ἃ δὲ ἑκάστῃ ἡλικίᾳ προστέτακται ποιεῖν, διηγησόμεθα, ὡς μᾶλλον ὅλον γένηται, ᾗ ἐπιμέλονται ὡς ἂν βέλτιστοι εἶεν οἱ πολῖται. Οἱ μὲν δὴ παῖδες, εἰς τὰ διδασκαλεῖα φοιτῶντες, διάγουσι μανθάνοντες [1] δικαιοσύνην, καὶ λέγουσιν, ὅτι ἐπὶ τοῦτο ἔρχονται, ὥσπερ παρ' ἡμῖν οἱ τὰ γράμματα μαθησόμενοι. Οἱ δὲ ἄρχοντες αὐτῶν διατελοῦσι [2] τὸ πλεῖστον τῆς ἡμέρας δικάζοντες αὐτοῖς [3]. Γίγνεται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλους, ὥσπερ ἀνδράσιν, ἐγκλήματα καὶ κλοπῆς, καὶ ἁρπαγῆς, καὶ βίας, καὶ ἀπάτης, καὶ κακολογίας, καὶ ἄλλων, οἵων δὴ εἰκός [4]. Οὓς δ' ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται. Κολάζουσι δὲ καὶ οὓς ἂν ἀδίκως ἐγκαλοῦντας εὑρίσκωσι.

dres de la souveraine puissance. Enfin, les vieillards ont aussi leurs chefs, choisis dans leur classe, afin de veiller à ce que personne ne manque à ses devoirs.

VI. Mais, pour mieux expliquer par quels moyens les Perses tâchent de former d'excellents citoyens, je vais détailler les obligations que la loi impose à chacun de ces différents âges. Les enfants vont tous les jours aux écoles pour apprendre la justice, comme les nôtres y vont pour apprendre les lettres. Leurs gouverneurs s'occupent la plus grande partie de la journée à juger leurs différends; car il y en a entre eux aussi bien qu'entre les personnes plus âgées, et ils s'accusent parfois de larcin, de rapine, de violence, de tromperie, d'injures; et si quelqu'un est convaincu de ces crimes, il en est puni, comme ils ne manquent pas non plus de punir celui qui aurait accusé un innocent.

ὀπὸ τῆς ἀρχῆς μεγίστης·	par l'autorité suprême;
προστάται δὲ τῶν γεραιτέρων	mais des présidents des vieillard
εἰσὶ καὶ ἠρημένοι,	sont aussi choisis,
οἱ προστατεύουσιν,	lesquels président
ὅπως οὗτοι ἀποτελῶσι	afin que ceux-ci accomplissent
καὶ τὰ καθήκοντα.	aussi les devoirs.
VI. Διηγησόμεθα δὲ,	VI. Mais nous détaillerons
ἃ προστέτακται	quelles choses il est prescrit
ἑκάστῃ ἡλικίᾳ ποιεῖν,	à chaque âge de faire,
ὡς γένηται μᾶλλον δῆλον,	afin qu'il devienne plus clair,
ᾗ ἐπιμέλονται	comment ils s'occupent
ὡς οἱ πολῖται	que les citoyens
εἶεν ἂν βέλτιστοι.	soient les meilleurs.
Οἱ μὲν δὴ παῖδες,	Donc d'abord les enfants
φοιτῶντες εἰς τὰ διδασκαλεῖα,	allant aux écoles,
διάγουσι μανθάνοντες	passent-le-temps apprenant
δικαιοσύνην,	la justice,
καὶ λέγουσιν	et disent
ὅτι ἔρχονται ἐπὶ τοῦτο,	qu'ils vont pour cela,
ὥσπερ οἱ μαθησόμενοι	comme ceux devant apprendre
τὰ γράμματα παρὰ ἡμῖν.	les lettres chez nous.
Οἱ δὲ ἄρχοντες αὐτῶν	De leur côté les gouverneurs d'eux
διατελοῦσι	continuent
δικάζοντες αὐτοῖς	portant-des-jugements sur eux
τὸ πλεῖστον τῆς ἡμέρας.	la-plus-grande-partie de la journée.
Ἐγκλήματα γὰρ δὴ	Car certes des accusations
καὶ κλοπῆς, καὶ ἁρπαγῆς,	et de vol, et de rapine,
καὶ βίας, καὶ ἀπάτης,	et de violence, et de tromperie,
καὶ κακολογίας, καὶ ἄλλων,	et d'injures, et d'autres choses,
οἵων δὴ εἰκὸς,	telles qu'*il est* naturel,
γίγνεται καὶ παισὶ	se font aussi aux enfants
πρὸς ἀλλήλους,	envers les uns les autres,
ὥσπερ ἀνδράσι.	comme aux hommes.
Τιμωροῦνται δὲ,	Et ils punissent
οὓς γνῶσιν ἂν	*ceux* qu'ils reconnaîtraient
ἀδικοῦντάς	faisant injustement
τι τούτων.	quelqu'une de ces choses.
Κολάζουσι δὲ καὶ	Et ils châtient aussi
οὓς εὑρίσκωσιν ἂν	*ceux* qu'ils trouveraient
ἐγκαλοῦντας ἀδίκως.	accusant injustement.

VII. Δικάζουσι δὲ καὶ ἐγκλήματος, οὗ ἕνεκα ἄνθρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα, δικάζονται[1] δὲ ἥκιστα, ἀχαριστίας· καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δὲ, κολάζουσι καὶ τοῦτον ἰσχυρῶς. Οἴονται γὰρ τοὺς ἀχαρίστους καὶ περὶ θεους ἂν[2] μάλιστα ἀμελῶς ἔχειν[3], καὶ περὶ γονέας, καὶ πατρίδα, καὶ φίλους. Ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἡ ἀναισχυντία· καὶ γὰρ αὕτη μεγίστη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών.

VIII. Διδάσκουσι δὲ τοὺς παῖδας καὶ σωφροσύνην[4]· μέγα δὲ συμβάλλεται εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτοὺς, ὅτι καὶ τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. Διδάσκουσι δὲ αὐτοὺς καὶ πείθεσθαι τοῖς ἄρχουσι· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι καὶ τοὺς πρεσβυτέρους πειθομένους τοῖς ἄρχουσιν ἰσχυρῶς. Διδάσκουσι δὲ καὶ ἐγκρατεῖς εἶναι γαστρὸς καὶ ποτοῦ[5]· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους οὐ πρόσθεν ἀπιόντας γαστρὸς ἕνεκα,

VII. On juge encore un crime qui est la source de toutes les haines parmi les hommes, et contre lequel néanmoins il n'y a point d'action en justice; c'est l'ingratitude: et quand il se trouve qu'un enfant a pu se montrer reconnaissant, et qu'il ne l'a pas fait, on le châtie très-rigoureusement; car on croit que les ingrats ne se soucient pas plus des dieux, de leurs parents, de leur patrie, de leurs amis, que de leurs bienfaiteurs. D'ailleurs l'ingratitude est ordinairement accompagnée d'impudence, et c'est elle qui nous conduit à toutes sortes de vices.

VIII. On instruit encore les enfants à la tempérance; et c'est aux enfants un puissant motif pour la pratique de ces enseignements que l'exemple des plus âgés, qu'ils voient vivre dans une tempérance continuelle. On les instruit en outre à l'obéissance aux magistrats; et là encore ils sont encouragés par l'exemple des plus âgés, qu'ils ne voient jamais se soustraire à une parfaite soumission aux ordres de leurs chefs. On les instruit pareillement à être sobres et retenus pour le boire et le manger; et cette vertu leur devient encore facile par l'exemple des autres, qu'ils voient pour retirer jamais ne se prendre

VII. Δικάζουσι δὲ καὶ
ἀχαριστίας, ἐγκλήματος,
ἕνεκα οὗ ἄνθρωποι
μισοῦσι μὲν μάλιστα
ἀλλήλους,
δικάζονται δὲ ἥκιστα·
καὶ κολάζουσι καὶ ἰσχυρῶς
τοῦτον, ὃν γνῶσιν ἂν
δυνάμενον μὲν ἀποδιδόναι χάριν,
μὴ ἀποδιδόντα δέ.
Οἴονται γὰρ τοὺς ἀχαρίστους
ἔχειν ἂν
μάλιστα ἀμελῶς
καὶ περὶ θεοὺς, καὶ περὶ γονέας,
καὶ πατρίδα, καὶ φίλους.
Ἡ δὲ ἀναισχυντία δοκεῖ
ἕπεσθαι μάλιστα τῇ ἀχαριστίᾳ·
καὶ γὰρ αὕτη δοκεῖ εἶναι
ἡγεμὼν μεγίστη
ἐπὶ πάντα τὰ αἰσχρά.

VII. Et ils jugent aussi
l'ingratitude, délit,
à cause duquel les hommes
se haïssent à la vérité le plus
les uns les autres,
et cependant sont jugés le moins;
et ils châtient aussi fortement
celui qu'ils reconnaîtraient
pouvant à la vérité rendre grâce
mais ne *la* rendant pas.
Car ils pensent les ingrats
devoir se comporter
très-négligemment,
et pour les dieux, et pour les parents,
et la patrie, et les amis.
Et l'impudence paraît
suivre le plus l'ingratitude;
et en effet celle-ci paraît être
le guide le plus grand
vers toutes les choses honteuses.

VIII. Διδάσκουσι δὲ καὶ
σωφροσύνην τοὺς παῖδας·
συμβάλλεται δὲ μέγα
εἰς τὸ αὐτοὺς μανθάνειν
σωφρονεῖν,
ὅτι ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν
καὶ τοὺς πρεσβυτέρους
διάγοντας σωφρόνως.
Διδάσκουσι δὲ καὶ αὐτοὺς
πείθεσθαι τοῖς ἄρχουσι·
συμβάλλεται δὲ καὶ
μέγα εἰς τοῦτο,
ὅτι ὁρῶσι καὶ τοὺς πρεσβυτέρους
πειθομένους ἰσχυρῶς
τοῖς ἄρχουσι.
Διδάσκουσι δὲ καὶ εἶναι
ἐγκρατεῖς γαστρὸς καὶ ποτοῦ·
συμβάλλεται δὲ καὶ
μέγα ἐς τοῦτο,
ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους

VIII. De plus ils enseignent aussi
la tempérance aux enfants;
mais *ceci* contribue grandement
pour eux apprendre (à ce qu'ils ap-
à être tempérants, [prennent)
qu'ils voient pendant chaque jour
aussi les *hommes* plus âgés
se comportant sagement.
Et ils instruisent encore eux
à obéir aux chefs;
mais *ceci* contribue encore
grandement à cela,
qu'ils voient aussi ceux plus âgés
obéissant fortement
aux chefs.
Et ils enseignent aussi à être
maîtres du ventre et de la boisson;
mais *ceci* contribue encore
grandement à cela,
qu'ils voient ceux plus âgés

VIII. Commandez donc à Sacas, dit Cyrus, qu'il me donne la coupe afin que je vous serve à boire, et que je gagne aussi votre affection par ce moyen-là, s'il m'est possible. Astyage commanda à Sacas de le faire, et Cyrus ayant pris la coupe, la rinça fort proprement comme il avait vu faire à Sacas, puis composant son visage, il la présenta au roi avec tant de sérieux et de grâce qu'Astyage et Mandane ne purent s'empêcher d'en rire beaucoup. Lui-même riant aussi sauta au cou de son grand-père, en disant : « Pauvre Sacas, te voilà ruiné, je te vais faire perdre ton office, car je servirai mieux que toi. et je ne boirai pas le vin comme tu fais. » Il disait cela, parce que le

καλῶς καὶ εὐσχημόνως;	décemment et habilement?
Οἱ δὲ οἰνοχόοι	Or les échansons
τούτων τῶν βασιλέων	de ces rois
οἰνοχοοῦσί τε	et font-le-métier-d'échanson
κομψῶς,	gracieusement,
καὶ ἐγχέουσι καθαρίως	et versent avec propreté,
καὶ ὀχοῦντες τοῖς τρισὶ δακτύλοις	et supportant avec les trois doigts,
διδόασι τὴν φιάλην,	ils donnent la coupe,
καὶ προσφέρουσι τὸ ἔκπωμα,	et présentent le vase
ὡς ἐνδοῖεν ἂν	de-manière-qu'ils *le* remettent
εὐληπτότατα	le plus commodément
τῷ μέλλοντι πίνειν.	à celui devant boire.
VIII. Φάναι· ὦ πάππε,	VIII. *Lui* avoir dit : O grand-père,
κέλευσον δὴ τὸν Σάκαν	ordonne donc le Sacas
δοῦναι τὸ ἔκπωμα	donner la coupe
καὶ ἐμοί, ἵνα καὶ ἐγὼ	aussi à moi, afin qu'aussi moi,
ἐγχέας καλῶς πιεῖν σοι,	ayant versé bien à boire à toi,
ἀνακτήσωμαί σε, ἢν δύνωμαι·	je gagne toi, si je puis;
καὶ τὸν κελεῦσαι δοῦναι.	et lui avoir ordonné de donner.
Τὸν δὲ Κῦρον λαβόντα	Mais le Cyrus ayant pris
κλύσαι μὲν δὴ	d'abord avoir rincé certes
οὕτως εὖ τὸ ἔκπωμα,	aussi bien la coupe,
ὥσπερ ἑώρα τὸν Σάκαν·	qu'il avait vu le Sacas;
στήσαντα δὲ οὕτω τὸ πρόσωπον,	puis ayant composé ainsi la figure,
προσενεγκεῖν καὶ ἐνδοῦναι	avoir apporté et avoir donné
σπουδαίως	sérieusement
καὶ εὐσχημόνως πως	et gracieusement en-quelque-sorte
τὴν φιάλην τῷ πάππῳ,	la coupe au grand-père,
ὥστε παρασχεῖν πολὺν γέλωτα	de-manière-à causer un grand rire
τῇ μητρὶ καὶ τῷ Ἀστυάγει.	à la mère et à l'Astyage.
Τὸν δὲ Κῦρον αὐτὸν	Mais le Cyrus lui-même
ἐκγελάσαντα καὶ	ayant ri aussi
ἀναπηδῆσαι πρὸς τὸν πάππον,	avoir sauté vers le grand-père,
καὶ φιλοῦντα	et *l'*embrassant
εἰπεῖν ἅμα·	avoir dit en-même-temps :
ὦ Σάκα, ἀπόλωλας·	O Sacas! tu es perdu;
ἐκβαλῶ σε τῆς τιμῆς·	je chasserai toi de la charge;
οἰνοχοήσω γὰρ	car je ferai-l'échanson,
φάναι, κάλλιόν σου	*lui* avoir dit, mieux que toi
τά τε ἄλλα,	et *pour* les autres choses,

οἰνοχοήσω, καὶ οὐκ ἐκπίομαι αὐτὸς τὸν οἶνον. Οἱ γὰρ τῶν βασιλέων οἰνοχόοι, ἐπειδὰν ἐνδιδῶσι τὴν φιάλην, ἀρύσαντες ἀπ' αὐτῆς τῷ κυάθῳ, εἰς τὴν ἀριστερὰν χεῖρα ἐγχεάμενοι καταῤῥοφοῦσι· τοῦ[1] δὴ, εἰ φάρμακα ἐγχέοιεν, μὴ λυσιτελεῖν αὐτοῖς.

IX. Ἐκ τούτου δὴ ὁ Ἀστυάγης ἐπισκώπτων ἔφη· καὶ τί δὴ, ὦ Κῦρε, τἄλλα μιμούμενος τὸν Σάκαν, οὐκ ἀπεῤῥόφησας τοῦ οἴνου; Ὅτι νὴ Δί', ἔφη, ἐδεδοίκειν μὴ ἐν τῷ κρατῆρι[2] φάρμακα μεμιγμένα εἴη. Καὶ γὰρ, ὅτε εἱστίασας σὺ τοὺς φίλους ἐν τοῖς γενεθλίοις, σαφῶς κατέμαθον φάρμακα αὐτὸν ὑμῖν ἐγχέαντα. Καὶ πῶς δὴ, ἔφη, σὺ, ὦ παῖ, τοῦτο κατέγνως; Ὅτι νὴ Δί', ἔφη, ὑμᾶς ἑώρων καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους. Πρῶτον μὲν γὰρ, ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν, ταῦτα αὐτοὶ ἐποιεῖτε. Πάντες μὲν γὰρ ἅμα ἐκεκράγειτε, ἐμανθάνετε δὲ οὐδὲ ἓν ἀλλήλων· ᾔδετε δὲ καὶ μάλα γελοίως· οὐκ ἀκροώμενοι δὲ τοῦ ᾄδοντος, ὠμνύετε ᾄδειν ἄριστα. Λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἐπεὶ ἀνασταίητε ὀρχησόμενοι, μὴ ὅπως[3]

échansons des rois, en leur présentant la coupe, y puisent avec la cuiller un peu de vin qu'ils avalent après l'avoir versé dans leur main gauche, afin que s'ils y avaient mis du poison, ils n'en retirassent aucun avantage.

IX. Sur ce propos de Cyrus, Astyage dit en riant : « Pourquoi donc, puisque vous avez pris garde à faire comme Sacas, n'avez-vous point goûté le vin? » « J'ai eu peur, répondit-il, qu'il n'y eût du poison dedans; car je me souviens bien qu'au festin que vous fîtes à vos amis le jour de votre naissance, Sacas en avait mis dans votre vin. » « Et comment avez-vous su cela? » lui dit Astyage. « C'est, répondit-il, que je voyais un grand désordre s'emparer de vous et de vos esprits; car vous faisiez ce que vous n'auriez pas souffert à nous autres enfants. Vous parliez tous ensemble, sans entendre rien de ce qui se disait. Vous chantiez ridiculement, et sans avoir entendu le chanteur, vous juriez qu'il chantait fort bien. Chacun de vous vantait son adresse et sa force; et cependant, quand il fallut se lever pour danser, loin de

καὶ αὐτὸς οὐκ ἐκπίομαι τὸν οἶνον. et moi-même je ne boirai pas le vin.
Οἱ γὰρ οἰνοχόοι τῶν βασιλέων, Car les échansons des rois,
ἐπειδὰν ἐνδιδῶσι τὴν φιάλην, lorsqu'ils présentent la coupe,
ἀρύσαντες ἀπὸ αὐτῆς τῷ κυάθῳ, ayant puisé d'elle avec le cyathe,
ἐγχεάμενοι εἰς τὴν χεῖρα ἀριστερὰν ayant versé dans la main gauche,
καταῤῥοφοῦσι· avalent;
τοῦ δὴ μὴ λυσιτελεῖν αὐτοῖς, certes pour le ne pas profiter à eux,
εἰ ἐγχέοιεν φάρμακα. s'ils versaient des poisons.

IX. Ὁ δὴ Ἀστυάγης IX. Alors l'Astyage,
ἐπισκώπτων ἐκ τούτου plaisantant après cela,
ἔφη· ὦ Κῦρε, καὶ τί δή, dit : O Cyrus, et pourquoi donc,
μιμούμενος τὸν Σάκαν τὰ ἄλλα, imitant Sacas *dans* les autres choses,
οὐκ ἀπεῤῥόφησας τοῦ οἴνου; n'as-tu pas avalé du vin?
Ἔφη, ὅτι ἐδεδοίκειν Il dit : Parce que j'avais craint,
νὴ Δία, par Jupiter,
μὴ φάρμακα εἴη μεμιγμένα que des poisons ne fussent mêlés
ἐν τῷ κρατῆρι. dans le cratère.
Καὶ γὰρ κατέμαθον σαφῶς Car en effet j'aperçus clairement,
αὐτὸν ἐγχέαντα φάρμακα ὑμῖν, lui ayant versé des poisons à vous,
ὅτε σὺ εἱστίασας τοὺς φίλους lorsque tu régalais les amis
ἐν τοῖς γενεθλίοις. dans la fête-de-ta-naissance.
Ἔφη· ὦ παῖ, καὶ πῶς δὴ Il dit : O enfant, et comment donc
σὺ κατέγνως τοῦτο; as-tu aperçu cela?
Ἔφη· ὅτι ἑώρων νὴ Δία Il dit : C'est-que j'ai vu par Jupiter
ὑμᾶς σφαλλομένους vous trébuchant
καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι. et par les pensées et par les corps
Πρῶτον μὲν γὰρ Car d'abord à la vérité
αὐτοὶ ἐποιεῖτε ταῦτα vous-mêmes vous faisiez ces choses
ἃ οὐκ ἐάτε que vous ne laissez pas
ἡμᾶς τοὺς παῖδας ποιεῖν. nous, les enfants, faire.
Πάντες μὲν γὰρ ἐκεκράγειτε ἅμα, Car d'abord tous vous criiez ensemble,
ἐμανθάνετε δὲ et vous n'entendiez
οὐδὲ ἓν ἀλλήλων· pas-même un *mot* les-uns-des-autres;
ᾄδετε δὲ καὶ puis vous chantiez aussi
μάλα γελοίως· très-ridiculement;
οὐκ ἀκροώμενοι δὲ τοῦ ᾄδοντος, et n'écoutant pas le chantant,
ὠμνύετε ἄδειν ἄριστα. vous juriez *lui* chanter très-bien.
Ἕκαστος δὲ ὑμῶν λέγων Et chacun de vous disant
τὴν ῥώμην ἑαυτοῦ, la force de lui,
ἐπεὶ ἀνασταίητε lorsque vous vous leviez

ὀργεῖσθαι ἐν ῥυθμῷ, ἀλλ' οὐδ' ὀρθοῦσθαι ἐδύνασθε. Ἐπιλέλησθε δὲ παντάπασι, σύ τε, ὅτι βασιλεὺς ἦσθα, οἵ τε ἄλλοι, ὅτι σὺ ἄρχων. Τότε γὰρ δὴ ἔγωγε καὶ πρῶτον κατέμαθον, ὅτι τοῦτ ἄρα ἦν ἡ ἰσηγορία, ὃ ὑμεῖς τότε ἐποιεῖτε· οὐδέποτε γοῦν ἐσιωπᾶτε.

X. Καὶ ὁ Ἀστυάγης εἶπεν· ὁ δὲ σὸς πατήρ, ὦ παῖ, πίνων οὐ μεθύσκεται; Οὐ μὰ Δί', ἔφη. Ἀλλὰ πῶς ποιεῖ; Διψῶν παύεται[2]· ἄλλο δὲ κακὸν οὐδὲν πάσχει. Οὐ γάρ, οἶμαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ. Καὶ ἡ μήτηρ εἶπεν· ἀλλὰ τί ποτε σύ, ὦ παῖ, οὕτω τῷ Σάκᾳ πολεμεῖς[3]; Τὸν δὲ Κῦρον εἰπεῖν· ὅτι, νὴ Δία, φάναι, μισῶ αὐτόν· πολλάκις γάρ με, πρὸς τὸν πάππον ἐπιθυμοῦντα προσδραμεῖν, οὗτος ὁ μιαρώτατος ἀποκωλύει. Ἀλλὰ ἱκετεύω, φάναι, ὦ πάππε, δός μοι τρεῖς ἡμέρας ἄρξαι αὐτοῦ. Καὶ τὸν Ἀστυάγην εἰπεῖν· καὶ πῶς δὴ ἂν ἄρξαις αὐτοῦ; Καὶ τὸν Κῦρον φάναι· στὰς ἄν, ὥσπερ οὗτος, ἐπὶ τῇ εἰσόδῳ, ἔπειτα,

pouvoir faire un pas en cadence, vous pouviez à peine vous soutenir. Vous aviez tout à fait oublié, vous, que vous étiez roi, eux, qu'ils étaient vos sujets. Alors, pour la première fois, j'appris ce que c'était que la liberté de la parole; car vous ne vous taisiez pas un instant. »

X. Astyage reprenant la parole : « Hé quoi, mon fils, lui dit-il, votre père ne s'enivre-t-il jamais? « « Jamais, » répondit Cyrus. « Et comment fait-il donc? » ajouta Astyage. « Il cesse d'avoir soif après avoir bu, répondit Cyrus, mais il ne s'en trouve point mal; c'est, je pense qu'il n'a point un Sacas qui lui serve à boire. » A ces mots, Mandane lui demanda pourquoi il attaquait toujours Sacas. « Je le hais, répondit Cyrus; car souvent, quand je veux aller voir mon grand-père, ce méchant ne me veut pas laisser entrer. Mais je vous prie, dit-il en se tournant vers Astyage, donnez-le-moi pour trois jours seulement. » « Et que lui feriez-vous? » dit Astyage. « Je me tiendrais sur son passage, répondit Cyrus, et quand il voudrait aller dîner chez le roi, je

ὀρχησόμενοι, ἐδύνασθε,	devant danser, vous ne pouviez,
μὴ ὅπως ὀρχεῖσθαι ἐν ῥυθμῷ,	*je* ne *dis* pas danser en cadence,
ἀλλὰ οὐδὲ ὀρθοῦσθαι.	mais pas-même vous-tenir-debout.
Ἐπιλέλησθε δὲ παντάπασι,	Et vous aviez oublié tout-à-fait,
σύ τε, ὅτι ἦσθα βασιλεύς,	et toi, que tu étais roi,
οἵ τε ἄλλοι, ὅτι σὺ ἄρχων.	et les autres, que tu *étais* souverain.
Ἔγωγε γὰρ κατέμαθον δὴ	Car moi du moins j'appris seulement
τότε καὶ πρῶτον,	alors même pour-la-première-fois,
ὅτι ἄρα τοῦτο	que donc ce
ὃ ὑμεῖς ἐποιεῖτε τότε,	que vous faisiez alors,
ἦν ἡ ἰσηγορία·	était la liberté-égale-de-parler ;
ἐσιωπᾶτε γοῦν οὐδέποτε.	en effet, vous ne vous taisiez jamais.
X. Καὶ ὁ Ἀστυάγης εἶπεν·	X. Et l'Astyage dit :
ὦ παῖ, ὁ δὲ σὸς πατὴρ	O enfant, mais le tien père
πίνων οὐ μεθύσκεται;	buvant, ne s'enivre-t-il pas?
Ἔφη· οὐ μά Δία.	Il dit : Non, par Jupiter.
Ἀλλὰ πῶς ποιεῖ;	Mais comment fait-il?
Παύεται διψῶν·	Il cesse ayant (d'avoir) soif;
πάσχει δὲ οὐδὲν ἄλλο κακόν.	mais il ne souffre aucun autre mal.
Σάκας γὰρ οὐκ οἰνοχοεῖ αὐτῷ,	Car un Sacas ne verse pas du vin à lui,
οἶμαι, ὦ πάππε.	je pense, ô grand-père.
Καὶ ἡ μήτηρ εἶπεν· ἀλλὰ τί ποτε	Et la mère dit : Mais pourquoi donc
σὺ πολεμεῖς οὕτω	fais-tu-la-guerre ainsi
τῷ Σάκᾳ, ὦ παῖ;	au Sacas, ô fils?
Τὸν δὲ Κῦρον εἰπεῖν·	Mais Cyrus avoir dit :
ὅτι, φάναι,	Parce que, *lui* avoir dit,
μισῶ αὐτόν, νὴ Δία·	je hais lui, par Jupiter;
οὗτος γὰρ ὁ μιαρώτατος	car ce très-méchant
ἀποκωλύει πολλάκις	empêche souvent
μὲ ἐπιθυμοῦντα	moi désirant
προσδραμεῖν πρὸς τὸν πάππον.	accourir vers le grand-père.
Φάναι· ἀλλὰ ἱκετεύω,	*Lui* avoir dit : Mais je supplie,
ὦ πάππε, δός μοι	ô grand-père, accorde-moi
ἄρξαι αὐτοῦ τρεῖς ἡμέρας.	de commander à lui trois jours.
Καὶ τὸν Ἀστυάγην εἰπεῖν·	Et l'Astyage avoir dit :
καὶ πῶς δὴ	Et comment donc
ἄρξαις ἂν αὐτοῦ;	commanderais-tu à lui?
Καὶ τὸν Κῦρον φάναι·	Et le Cyrus avoir dit :
στὰς ἂν ἐπὶ τῇ εἰσόδῳ,	Posté près de l'entrée,
ὥσπερ οὗτος,	comme lui,

ὁπότε βούλοιτο εἰσιέναι ἐπ' ἄριστον, λέγοιμ' ἂν ὅτι οὔπω δυνατὸν τῷ ἀρίστῳ ἐντυχεῖν· σπουδάζει γὰρ πρός τινας. Εἶθ' ὁπόταν ἥκῃ ἐπὶ τὸ δεῖπνον, λέγοιμ' ἂν ὅτι λοῦται. Εἰ δὲ πάνυ σπουδάζοι φαγεῖν, εἴποιμ' ἂν ὅτι παρὰ ταῖς γυναιξίν ἐστιν· ἕως παρατείναιμι τοῦτον, ὥσπερ οὗτος ἐμὲ παρατείνει, ἀπὸ σοῦ κωλύων.

XI. Τοιαύτας μὲν αὐτοῖς εὐθυμίας παρεῖχεν ἐπὶ τῷ δείπνῳ· τὰς δὲ ἡμέρας, εἴ τινος αἴσθοιτο δεόμενον ἢ τὸν πάππον, ἢ τὸν τῆς μητρὸς ἀδελφὸν, χαλεπὸν ἦν ἄλλον φθάσαι τοῦτο ποιήσαντα[1]· ὅ τι γὰρ δύναιτο ὁ Κῦρος, ὑπερέχαιρεν αὐτοῖς χαριζόμενος. Ἐπεὶ δὲ ἡ Μανδάνη παρεσκευάζετο ὡς ἀπιοῦσα πάλιν πρὸς τὸν ἄνδρα, ἐδεῖτο αὐτῆς ὁ Ἀστυάγης καταλιπεῖν τὸν Κῦρον. Ἡ δὲ ἀπεκρίνατο, ὅτι βούλοιτο μὲν ἂν ἅπαντα τῷ πατρὶ χαρίζεσθαι, ἄκοντα μέντοι τὸν παῖδα χαλεπὸν νομίζειν εἶναι καταλιπεῖν.

lui dirais : il n'y a pas moyen de dîner, le roi est en affaire. Quand il voudrait aller souper, je lui dirais : le roi est au bain. Si la faim le pressait encore plus : le roi est dans l'appartement des femmes. En un mot, je lui rendrais tout l'ennui qu'il me fait subir en m'empêchant de vous voir. »

XI. Cyrus les divertissait de la sorte durant le repas, et pour le reste de la journée, s'il savait que son grand-père ou son oncle désiraient quelque chose, il eût été bien difficile de le prévenir pour le leur donner, tant il était ravi de leur pouvoir rendre service. Or quand le temps fut venu que Mandane devait retourner auprès de son mari, Astyage la pria de lui laisser Cyrus. Elle répondit qu'elle était toujours enchantée de pouvoir être agréable à son père; mais qu'il serait bien difficile de faire demeurer son fils malgré lui.

λέγοιμι ἂν ἔπειτα,	je dirais ensuite,
ὁπότε βούλοιτο	lorsqu'il voudrait
εἰσιέναι ἐπὶ ἄριστον,	entrer pour le dîner,
ὅτι οὔπω δυνατὸν	qu'*il n'est* pas-encore possible
ἐντυχεῖν τῷ ἀρίστῳ·	de-se-rendre au dîner,
σπουδάζει γὰρ	car il (le roi) a-affaire
πρός τινας.	à quelques-uns.
Εἶτα ὁπόταν ἥκῃ	Ensuite, lorsqu'il viendrait
ἐπὶ τὸ δεῖπνον,	pour le souper,
λέγοιμι ἂν ὅτι λοῦται.	je dirais qu'il se baigne.
Εἰ δὲ σπουδάζοι πάνυ	Mais s'il se pressait tout-à-fait
φαγεῖν,	pour manger,
εἴποιμι ἂν ὅτι ἐστὶ	je dirais qu'il est
παρὰ ταῖς γυναιξίν·	chez les femmes;
ἕως παρατείναιμι τοῦτον,	jusqu'à-ce-que je lasse celui-ci,
ὥσπερ οὗτος παρατείνει ἐμέ,	comme celui-ci lasse moi,
κωλύων ἀπὸ σοῦ.	*m'*éloignant de toi.
XI. Παρεῖχε μὲν	XI. D'un côté il causait
τοιαύτας εὐθυμίας	de tels plaisirs
αὐτοῖς ἐπὶ τῷ δείπνῳ·	à eux pendant le dîner;
τὰς δὲ ἡμέρας,	de l'autre *pendant* les journées,
εἴ αἴσθοιτο ἢ τὸν πάππον,	s'il remarquait ou le grand-père,
ἢ τὸν ἀδελφὸν τῆς μητρὸς	ou le frère de la mère,
δεόμενόν τινος,	ayant-besoin de quelque chose,
ἦν χαλεπὸν	il était difficile
ἄλλον φθάναι ποιήσαντα τοῦτο.	un autre *le* prévenir faisant cela.
Ὁ γὰρ Κῦρος ὑπερέχαιρε	Car le Cyrus était ravi
χαριζόμενος αὐτοῖς,	faisant-plaisir à eux
ὅ τι δύναιτο.	*en* tout ce qu'il pouvait.
Ἐπεὶ δὲ ἡ Μανδάνη παρεσκευάζετο	Mais quand la Mandane se préparait
ὡς ἀπιοῦσα πάλιν	comme devant-aller de-nouveau
πρὸς τὸν ἄνδρα,	vers son mari,
ὁ Ἀστυαγης ἐδεῖτο αὐτῆς	l'Astyage pria elle
καταλιπεῖν τὸν Κῦρον.	de laisser le Cyrus.
Ἡ δὲ ἀπεκρίνατο,	Mais elle répondit,
ὅτι μὲν βούλοιτο ἂν	qu'à la vérité elle voudrait
χαρίζεσθαι	être agréable
τῷ πατρὶ ἅπαντα,	au père *en* toutes choses,
μέντοι νομίζειν εἶναι χαλεπὸν	cependant croire être difficile
καταλιπεῖν τὸν παῖδα ἄκοντα.	laisser l'enfant ne-voulant-pas.

XII. Ἔνθα δὴ ὁ Ἀστυάγης λέγει πρὸς τὸν Κῦρον ὦ παῖ, ἢν μένῃς παρ' ἐμοί, πρῶτον μὲν τῆς παρ' ἐμὲ εἰσόδου σοὶ οὐ Σάκας ἄρξει, ἀλλ', ὁπόταν βούλῃ εἰσιέναι ὡς ἐμέ, ἐπί σοι[1] ἔσται· καὶ χάριν σοι, ἔφη, μᾶλλον εἴσομαι, ὅσῳ ἂν πλεονάκις εἰσίῃς ὡς ἐμέ. Ἔπειτα δὲ, ἵπποις τοῖς ἐμοῖς χρήσῃ, καὶ ἄλλοις ὁπόσοις ἂν βούλῃ· καὶ ὅταν ἀπίῃς, ἔχων ἄπει[2] οὓς ἂν αὐτὸς ἐθέλῃς. Ἔπειτα δὲ, ἐν τῷ δείπνῳ, ἐπὶ τὸ μετρίως σοι δοκοῦν ἔχειν, ὁποίαν ἂν βούλῃ ὁδὸν πορεύσῃ. Ἔπειτα, τά τε νῦν ἐν τῷ παραδείσῳ θηρία δίδωμί σοι, καὶ ἄλλα παντοδαπὰ συλλέξω, ἃ σὺ, ἐπειδὰν τάχιστα[3] ἱππεύειν μάθῃς, διώξῃ, καὶ τοξεύων καὶ ἀκοντίζων καταβαλεῖς, ὥσπερ οἱ μεγάλοι ἄνδρες. Καὶ παῖδας δέ σοι ἐγὼ συμπαίκτορας παρέξω· καὶ ἄλλα ὅσα ἂν βούλῃ, λέγων πρὸς ἐμὲ, οὐκ ἀτυχήσεις.

XIII. Ἐπεὶ δὲ ταῦτα εἶπεν ὁ Ἀστυάγης, ἡ μήτηρ διηρώτα

XII. Après cela Astyage parla ainsi à Cyrus : « Mon fils, si vous voulez demeurer avec moi, Sacas ne vous empêchera plus d'entrer. Vous aurez la liberté de me venir voir quand il vous plaira, et plus vous y viendrez, plus je vous en saurai gré; vous vous servirez de mes chevaux, et de tant d'autres que vous voudrez, et quand vous retournerez en Perse, vous y emmènerez ceux qu'il vous plaira de choisir. Pour ce qui est de la table, vous vous ferez servir à votre fantaisie, et suivant cette frugalité que vous estimez tant. Au reste, je vous donne toutes les bêtes qui sont dans mon parc, et j'aurai soin qu'on y en mette encore d'autres de toute espèce, afin que quand vous saurez monter à cheval, vous ayez le plaisir de les chasser et de les tuer à coups de flèche et de javelot, comme nous autres hommes. Je vous donnerai aussi des garçons de votre âge pour vous divertir; et quelque chose que vous désiriez, soyez sûr de l'obtenir dès que vous m'en aurez averti.

XIII. Après qu'Astyage eut parlé ainsi, Mandane demanda à Cyrus

XII. Ὁ δὴ Ἀστυάγης λέγει ἔνθα
πρὸς τὸν Κῦρον· ὦ παῖ,
ἢν μένῃς παρὰ ἐμοί,
πρῶτον μὲν Σάκας
οὐκ ἄξει
τῆς εἰσόδου παρὰ ἐμέ σοι,
ἀλλὰ ἔσται ἐπί σοι,
ὁπόταν βούλῃ εἰσιέναι ὡς ἐμέ·
ἔφη· καὶ εἴσομαι χάριν σοι
μᾶλλον, ὅσῳ εἰσίῃς ἂν
πλεονάκις ὡς ἐμέ.
Ἔπειτα δὲ, χρήσῃ
τοῖς ἐμοῖς ἵπποις,
καὶ ἄλλοις ὁπόσοις ἂν βούλῃ
καὶ ὅταν ἀπίῃς,
ἄπει ἔχων
οὓς αὐτὸς ἐθέλῃς ἄν.
Ἔπειτα δὲ πορεύσῃ ὁδὸν
ὁποίαν ἂν βούλῃ,
ἐν τῷ δεῖπνῳ,
ἐπὶ τὸ δοκοῦν σοι
ἔχειν μετρίως.
Ἔπειτα, δίδωμί τέ σοι τὰ θηρία
νῦν ἐν τῷ παραδείσῳ,
καὶ συλλέξω
ἄλλα παντοδαπὰ,
ἃ σὺ διώξῃ,
ἐπειδὰν τάχιστα μάθῃς
ἱππεύειν,
καὶ καταβαλεῖς
τοξεύων καὶ ἀκοντίζων,
ὥσπερ οἱ ἄνδρες μεγάλοι.
Καὶ ἐγὼ δὲ παρέξω σοι
παῖδας συμπαίκτους·
καὶ λέγων πρὸς ἐμὲ ἄλλα
ὅσα ἂν βούλῃ,
οὐκ ἀτυχήσεις.

XIII. Ἐπεὶ δὲ ὁ Ἀστυάγης
εἶπε ταῦτα,
ἡ μήτηρ διηρώτα τὸν Κῦρον,

XII. Mais l'Astyage dit alors
au Cyrus : O enfant,
si tu restes auprès de moi,
d'abord d'un côté Sacas
ne disposera pas
de l'entrée chez moi pour toi, (de toi),
mais il sera en toi (la chose dépendra
lorsque tu voudras entrer chez moi ;
il dit : et je saurai gré à toi,
d'autant plus que tu entreras
plus-souvent chez moi ;
Ensuite d'un autre côté tu te serviras
des miens chevaux,
et d'autres, d'autant que tu voudrais;
et lorsque tu t'en iras,
tu t'en iras ayant
ceux que toi-même tu voudrais.
Et ensuite tu suivras la voie
laquelle tu voudrais,
dans le repas,
vers ce qui paraît à toi
se trouver frugalement.
Ensuite, et je donne à toi les bêtes
actuellement dans le parc,
et je rassemblerai
d'autres de-toute-espèce,
que tu chasseras
dès que tu auras appris
à monter à cheval,
et tu *les* abattras
tirant-de-l'arc et lançant-le-javelot,
comme les hommes grands.
Et de plus je donnerai à toi
des enfans *pour* camarades de jeu
et disant à moi d'autres choses
autant que tu voudrais,
tu n'*en* manqueras pas.

XIII. Mais après que l'Astyage
eut dit ces choses,
la mère interrogea le Cyrus.

τὸν Κῦρον, πότερα βούλοιτο μένειν, ἢ ἀπιέναι. Ὁ δὲ οὐκ ἐμέλλησεν, ἀλλὰ ταχὺ εἶπεν, ὅτι μένειν βούλοιτο. Ἐπερωτηθεὶς δὲ πάλιν ὑπὸ τῆς μητρὸς, διὰ τί; εἰπεῖν λέγεται· ὅτι οἴκοι μὲν τῶν ἡλίκων καὶ εἰμὶ καὶ δοκῶ κράτιστος εἶναι, ὦ μῆτερ, καὶ τοξεύων καὶ ἀκοντίζων· ἐνταῦθα δὲ εὖ οἶδα ὅτι ἱππεύων ἥττων εἰμὶ τῶν ἡλίκων· καὶ τοῦτο, εὖ ἴσθι, ἔφη, ὦ μῆτερ, ὅτι ἐμὲ πάνυ ἀνιᾷ. Ἢν δέ με καταλίπῃς ἐνθάδε, καὶ μάθω ἱππεύειν, ὅταν μὲν ἐν Πέρσαις ὦ, οἶμαί σοι[1] ἐκείνους τοὺς ἀγαθοὺς τὰ πεζικὰ ῥᾳδίως νικήσειν· ὅταν δὲ εἰς Μήδους ἔλθω ἐνθάδε, πειράσομαι τῷ πάππῳ, ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱππεὺς, συμμαχεῖν αὐτῷ[2].

XIV. Τὴν δὲ μητέρα εἰπεῖν· τὴν δὲ δικαιοσύνην, ὦ παῖ, πῶς μαθήσῃ ἐνθάδε, ἐκεῖ ὄντων σοι τῶν διδασκάλων; Καὶ τὸν Κῦρον φάναι· ἀλλ', ὦ μῆτερ, ἀκριβῶς ταύτην γε ἤδη οἶδα. Πῶς σὺ οἶσθα, εἰπεῖν τὴν Μανδάνην; Ὅτι, φάναι, ὁ διδάσκαλος

s'il voulait rester en Médie ou s'en retourner en Perse. A quoi il répondit sans hésiter, qu'il aimait mieux rester; et sa mère lui en ayant demandé la raison : « En Perse, répondit-il, je suis le plus adroit de mon âge à tirer de l'arc et à lancer le javelot; mais ici je suis un des plus maladroits à monter à cheval, et sachez-le bien, ma mère, cela me chagrine beaucoup : si vous me laissez ici, et que j'acquière cette adresse qui me manque, j'espère que, de retour chez nous, je surpasserai les plus habiles dans les exercices à pied; et revenant un jour chez les Mèdes, où il n'y aura pas de meilleur cavalier que moi, je tâcherai de secourir mon grand-père en cas de guerre. »

XIV. Mandane ajouta : « Mais où apprendrez-vous à rendre la justice, puisque ceux qui vous l'enseignaient sont en Perse? » « Je n'ai plus, que faire d'eux, répondit Cyrus, et j'en sais assez maintenant sur ce sujet. » « Quelle assurance en avez-vous? » continua Mandane.

πότερα βούλοιτο
μένειν ἢ ἀπιέναι.
Ὁ δὲ οὐκ ἐμέλλησεν,
ἀλλὰ εἶπε ταχὺ,
ὅτι βούλοιτο μένειν.
Ἐπερωτηθεὶς δὲ πάλιν
ὑπὸ τῆς μητρὸς, διὰ τί;
λέγεται εἰπεῖν·
ὦ μῆτερ, ὅτι μὲν
καὶ εἰμὶ καὶ δοκῶ εἶναι οἴκοι
κράτιστος τῶν ἡλίκων
καὶ τοξεύων
καὶ ἀκοντίζων·
οἶδα δὲ εὖ
ὅτι εἰμὶ ἐνταῦθα
ἥττων τῶν ἡλίκων
ἱππεύων·
καὶ ἔφη· ὦ μῆτερ, ἴσθι εὖ,
ὅτι τοῦτο ἀνιᾷ πάνυ ἐμέ.
Ἢν δὲ καταλίπῃς με ἐνθάδε,
καὶ μάθω ἱππεύειν,
ὅταν μὲν ὦ
ἐν Πέρσαις,
οἶμαι νικήσειν
ῥᾳδίως σοι ἐκείνους
τοὺς ἀγαθοὺς τὰ πεζικά·
ὅταν δὲ ἔλθω
ἐνθάδε εἰς Μήδους,
ὢν ἱππεὺς κράτιστος
ἀγαθῶν ἱππέων,
πειράσομαι συμμαχεῖν
αὐτῷ, τῷ πάππῳ.

XIV. Τὴν δὲ μητέρα εἰπεῖν· ὦ παῖ,
πῶς δὲ μαθήσῃ ἐνθάδε
τὴν δικαιοσύνην,
τῶν διδασκάλων ὄντων σοι ἐκεῖ;
Καὶ τὸν Κῦρον φάναι·
ὦ μῆτερ, ἀλλὰ οἶδα ἤδη
ἀκριβῶς ταύτην γε.
Τὴν Μανδάνην εἰπεῖν·

lequel-des-deux il voulait,
rester ou partir.
Mais celui-ci n'hésita pas,
mais dit promptement
qu'il voulait rester.
Et interrogé de-nouveau
par la mère, pourquoi?
il est raconté avoir dit :
O mère, parce que d'un côté
et je suis et je parais être chez-nous
le plus fort de ceux de-mon-âge,
et tirant de l'arc
et lançant le javelot;
de l'autre côté je sais bien
que je suis ici
inférieur à ceux de-mon-âge,
en montant à cheval;
et il dit : ô mère, sache bien
que cela chagrine beaucoup moi.
Or si tu laisses moi ici,
et *que* j'apprenne à monter-à-cheval,
lorsque d'abord je serai
parmi *les* Perses,
je pense devoir vaincre
facilement à toi ceux-là,
les bons *pour* les exercices-à-pied;
puis, lorsque je viendrai
ici chez *les* Mèdes,
étant cavalier le plus fort
des bons cavaliers,
je tâcherai d'aider-au-combat
lui, le grand-père.

XIV. Mais la mère avoir dit : O fils,
mais comment apprendras-tu ici
la justice,
les maîtres étant à toi là-bas?
Et le Cyrus avoir dit :
O mère, mais je sais déjà
exactement celle-ci du moins.
La Mandane avoir dit :

με, ὡς ἤδη ἀκριβοῦντα τὴν δικαιοσύνην, καὶ ἄλλοις καλίστη δικάζειν. Καὶ τοίνυν, φάναι, ἐπὶ μιᾷ ποτὲ δίκῃ πληγὰς ἔλαβον, ὡς οὐκ ὀρθῶς δικάσας. Ἦν δὲ ἡ δίκη τοιάδε· παῖς μέγας μικρὸν ἔχων χιτῶνα, ἕτερον παῖδα μικρὸν, μέγαν ἔχοντα χιτῶνα, ἐκδύσας αὐτὸν, τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε[1], τὸν δὲ ἐκείνου αὐτὸς ἐνέδυ. Ἐγὼ γοῦν τούτοις δικάζων, ἔγνων βέλτιον εἶναι ἀμφοτέροις, τὸν ἁρμόζοντα ἑκάτερον ἔχειν χιτῶνα. Ἐν δὲ τούτῳ αὖ με ἔπαισεν ὁ διδάσκαλος, λέγων ὅτι, ὁπότε μὲν κατασταθείην τοῦ ἁρμόττοντος[2] κριτὴς, οὕτω δέοι ποιεῖν· ὁπότε δὲ κρῖναι δέοι ὁποτέρου ὁ χιτὼν εἴη, τοῦτ' ἔφη σκεπτέον εἶναι, τίς κτῆσις δικαία ἐστί· πότερα τὸν βίᾳ ἀφελόμενον ἔχειν, ἢ τὸν ποιησάμενον ἢ πριάμενον κεκτῆσθαι[3]. Ἔπειτα δὲ ἔφη τὸ μὲν νόμιμον δίκαιον εἶναι· τὸ δὲ ἄνομον βίαιον. Σὺν τῷ νόμῳ οὖν ἐκέλευεν

« C'est, répondit Cyrus, que mon maître m'avait chargé de juger les différends des autres, parce que j'étais bien instruit de ce qui est juste; une fois cependant je fus châtié, pour n'avoir pas bien jugé. Voici l'affaire dont il s'agissait. Un garçon, déjà grand, avait une robe qui lui était trop petite, et ayant rencontré un petit garçon qui en avait une trop grande, il la lui ôta, s'en habilla, et lui mit la sienne : je jugeai qu'il était à propos que chacun gardât la robe qui allait à sa taille. Mais mon maître me reprit, disant que, quand je serais établi juge sur ce qui était plus ou moins à propos, il faudrait juger comme j'avais fait; mais que, puisqu'il était question de prononcer à qui la robe devait appartenir, il fallait considérer si celui qui l'avait prise de force devait plutôt l'avoir que celui qui l'avait faite, ou achetée. Car, comme il disait, ce qui est conforme aux lois est juste, et ce qui est contraire aux lois est tyrannique et violent. Il voulait donc qu'un

πῶς σὺ οἶσθα;
Φάναι· ὅτι ὁ διδάσκαλος
καθίστη με,
ὡς ἀκριβοῦντα ἤδη
τὴν δικαιοσύνην,
δικάζειν καὶ ἄλλοις.
Καὶ τοίνυν, φάναι,
ὡς οὐ δικάσας ὀρθῶς,
ἔλαβόν ποτε πληγὰς
ἐπὶ μιᾷ δίκῃ·
ἡ δὲ δίκη ἦν τοιάδε·
παῖς μέγας,
ἔχων χιτῶνα μικρὸν,
ἐκδύσας
ἕτερον παῖδα μικρὸν,
αὐτὸν, ἔχοντα χιτῶνα μέγαν,
ἠμφίεσε μὲν
ἐκεῖνον τὸν ἑαυτοῦ,
αὐτὸς δὲ ἐνέδυ
τὸν ἐκείνου.
Ἐγὼ γοῦν δικάζων τούτοις,
ἔγνων εἶναι βέλτιον
ἀμφοτέροις,
ἑκάτερον ἔχειν τὸν χιτῶνα
ἁρμόζοντα.
Ὁ δὲ διδάσκαλος αὖ
ἔπαισέ με ἐν τούτῳ,
λέγων ὅτι δέοι ποιεῖν οὕτως,
ὁπότε μὲν κατασταθείην
κριτὴς τοῦ ἁρμόττοντος·
ὁπότε δὲ δέοι κρῖναι,
ὁποτέρου ὁ χιτὼν εἴη,
ἔφη τοῦτο εἶναι σκεπτέον,
τίς κτῆσίς ἐστι δικαία·
πότερα,
τὸν ἀφελόμενον βίᾳ ἔχειν,
ἢ τὸν ποιησάμενον,
ἢ πριάμενον κεκτῆσθαι
Ἔφη δὲ ἔπειτα
τὸ νόμιμον μὲν εἶναι δίκαιον·

Comment toi sais-tu?
Lui avoir dit : C'est que le maître
établissait moi,
comme connaissant-exactement déjà
la justice,
pour juger même d'autres.
Et en conséquence, *lui* avoir dit :
comme n'ayant pas jugé juste,
je reçus un-jour des coups
pour une-seule cause;
mais la cause était telle :
un enfant grand,
ayant une robe petite,
ayant déshabillé
un autre enfant petit,
lui, ayant une robe grande,
revêtit d'abord
celui-ci *de* celle de lui-même,
puis lui-même il mit
celle de celui-ci.
Or moi prononçant l'arrêt à ceux-ci,
je reconnus être mieux
pour tous les deux,
chacun avoir la robe
convenant *à lui*.
Mais le maître à son tour
frappa moi sur cela,
disant qu'il faudrait faire ainsi,
lorsque je serais établi
juge du convenable;
mais lorsqu'il fallait décider
duquel-des-deux la robe était,
il dit cela être à considérer,
quelle possession est juste;
lequel des deux,
celui ayant enlevé de force avoir,
ou celui ayant-fait-faire
ou ayant acheté posséder.
Et il dit ensuite,
le légitime d'un côté être juste,

ἀεὶ τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι[1]. Οὕτως ἐγώ σοι, ἔφη, ὦ μῆτερ, τά γε δίκαια παντάπασιν ἤδη ἀκριβῶ· ἢν δέ τι ἄρα[2] προσδέωμαι, ὁ πάππος με, ἔφη, οὗτος ἐπιδιδάξει.

XV. Ἀλλ' οὐ ταὐτὰ, ἔφη, ὦ παῖ, παρά τε τῷ πάππῳ δίκαια, καὶ ἐν Πέρσαις ὁμολογεῖται. Οὗτος μὲν γὰρ τῶν ἐν Μήδοις πάντων δεσπότην ἑαυτὸν πεποίηκεν· ἐν Πέρσαις δὲ τὸ ἴσον ἔχειν δίκαιον νομίζεται. Καὶ ὁ σὸς πρῶτος πατὴρ τεταγμένα μὲν ποιεῖ, ἃ ποιεῖ, τῇ πόλει[3], τεταγμένα δὲ λαμβάνει· μέτρον δὲ αὐτῷ οὐχ ἡ ψυχὴ, ἀλλ' ὁ νόμος ἐστίν. Ὅπως[4] οὖν μὴ ἀπολῇ μαστιγούμενος, ἐπειδὰν οἴκοι εἴης, ἂν παρὰ τούτου μαθὼν ἥκῃς ἀντὶ τοῦ βασιλικοῦ τὸ τυραννικὸν, ἐν ᾧ ἐστι τὸ πλέον οἴεσθαι χρῆναι ἁπάντων ἔχειν. Ἀλλ' ὅ γε σὸς πατὴρ, εἶπεν ὁ Κῦρος, δεινότερός ἐστιν, ὦ μῆτερ, διδάσκειν μεῖον ἢ πλεῖον ἔχειν. Ἡ

juge prononçât toujours selon les lois. Et ainsi, soyez assurée, ma mère, que je sais parfaitement ce qui est juste; et en tout cas, s'il arrive que j'ignore quelque chose, mon grand-père ici me l'enseignera. »

XV. « Mais, mon fils, répondit Mandane, ce qui est juste aux yeux de ton grand-père, ne l'est pas toujours d'après les principes des Perses. Astyage s'est rendu maître absolu des Mèdes : au contraire parmi les Perses, la souveraine justice consiste dans l'égalité des droits. Votre père, le premier, sait que ses actions et ses revenus doivent se régler d'après les lois de la république. Ce n'est point son caprice, c'est la loi qui fixe les limites de son pouvoir. Gardez-vous donc bien, mon fils, de succomber sous le poids des mauvais traitements qui vous attendent en Perse, si vous y apportez, au lieu de maximes royales, ces principes tyranniques, qui supposent toujours qu'il faut s'efforcer d'avoir plus que les autres. » « Ne craignez point cela, ma mère, répondit Cyrus, Astyage sait trop bien comment il faut apprendre à se contenter de peu. Ne voyez-vous pas comme il a su faire goûter cette doctrine à tous les Mèdes? rassurez-vous donc,

τὸ δὲ ἄνομον βίαιον.
Ἐκέλευεν οὖν τὸν δικαστὴν
τίθεσθαι ἀεὶ τὴν ψῆφον
σὺν τῷ νόμῳ.
Ἔφη· ὦ μῆτερ,
οὕτως ἀκριβῶ σοι
παντάπασιν ἤδη τά γε δίκαια·
ἢν δὲ ἄρα
προσδέωμαί τι,
ἔφη, οὗτος ὁ πάππος
ἐπιδιδάξει με.

XV. Ἔφη· ὦ παῖ,
ἀλλὰ τὰ αὐτὰ
οὐχ ὁμολογεῖται δίκαια
παρά τε τῷ πάππῳ,
καὶ ἐν Πέρσαις.
Οὗτος μὲν γὰρ πεποίηκεν
ἑαυτὸν δεσπότην
πάντων τῶν ἐν Μήδοις·
τὸ δὲ ἔχειν ἴσον
νομίζεται δίκαιον ἐν Πέρσαις.
Καὶ ὁ σὸς πατὴρ πρῶτος
ποιεῖ μὲν, ἃ ποιεῖ,
τεταγμένα τῇ πόλει,
λαμβάνει δὲ
τεταγμένα·
ἡ δὲ ψυχὴ οὐκ ἔστι μέτρον αὐτῷ
ἀλλὰ ὁ νόμος.
Ὅπως οὖν μαστιγούμενος
μὴ ἀπολῇ,
ἐπειδὰν εἰς οἶκοι,
ἂν ἥκῃς μαθὼν παρὰ τούτου
ἀντὶ τοῦ βασιλικοῦ
τὸ τυραννικὸν,
ἐν ᾧ ἐστί τὸ οἴεσθαι χρῆναι
ἔχειν πλέον ἅπαντων.
Ὁ Κῦρος εἶπεν· ὦ μῆτερ,
ἀλλ' ὅ γε σὸς πατὴρ ἐστι δεινότερος
διδάσκειν ἔχειν μεῖον ἢ πλεῖον.
Ἢ οὐχ ὁρᾷς, ἔφη,

l'illégitime de l'autre violent,
Il ordonnait par conséquent le juge
mettre toujours la pierre (prononcer)
conformément à la loi.
Il dit : O mère,
ainsi je connais-exactement à toi
tout-à-fait déjà les choses justes ;
mais si par-hasard
j'ai-besoin-en-outre de quelque chose,
dit-il, ce grand-père-ci
instruira moi.

XV. Elle dit : O enfant,
mais les mêmes choses
ne sont pas avouées justes
et chez le grand-père,
et parmi *les* Perses.
Car d'un côté celui-ci a fait
lui-même maître
de toutes les choses parmi *les* Mèdes ;
de l'autre avoir un *bien* égal
est réputé juste parmi *les* Perses.
Et le tien père le premier.
fait d'un côté les choses qu'il fait,
prescrites par l'état,
de l'autre il reçoit
des choses prescrites ;
et le caprice n'est pas règle à lui,
mais la loi.
Donc *prends garde* afin que fouetté
tu ne périsses pas,
lorsque tu serais chez-toi,
si tu venais ayant appris de celui-ci
au lieu de ce-qui *est* royal
ce-qui *est* tyrannique,
dans quoi est le croire falloir (l'idée
avoir plus que tous. [qu'il faut)
Le Cyrus dit : O mère,
mais ce tien père est plus habile
à enseigner à avoir moins que plus
Ou ne vois-tu pas, dit-il,

οὐχ ὁρᾷς, ἔφη, ὅτι καὶ Μήδους ἅπαντας δεδίδαχεν ἑαυτοῦ μεῖον ἔχειν; ὥστε θάρσει, ὡς ὁ σός γε πατὴρ οὔτε ἄλλον οὐδένα, οὔτ' ἐμὲ πλεονεκτεῖν μαθόντα ἀποπέμψει.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

I. Τοιαῦτα μὲν δὴ πολλὰ ἐλάλει ὁ Κῦρος. Τέλος δὲ, ἡ μὲν μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμενε, καὶ αὐτοῦ[1] ἐτρέφετο. Καὶ ταχὺ μὲν τοῖς ἡλικιώταις συνεκέκρατο, ὥστε οἰκείως διακεῖσθαι· ταχὺ δὲ τοὺς πατέρας αὐτῶν ἀνήρτητο προσιὼν, καὶ ἔνδηλος ὢν, ὅτι ἠσπάζετο αὐτῶν τοὺς υἱεῖς· ὥστε καὶ, εἴ τι τοῦ βασιλέως δέοιντο, τοὺς παῖδας ἐκέλευον Κύρου δεῖσθαι διαπράξασθαί σφισιν. Ὁ δὲ Κῦρος, ὅ τι δέοιντο αὐτοῦ οἱ παῖδες, διὰ τὴν φιλανθρωπίαν καὶ φιλοτιμίαν, περὶ παντὸς ἐποιείτο[2] διαπράττεσθαι.

II. Καὶ ὁ Ἀστυάγης δὲ, ὅ τι δέοιτο αὐτοῦ ὁ Κῦρος, οὐδὲν ἐδύνατο ἀντέχειν, μὴ οὐ[3] χαρίζεσθαι. Καὶ γὰρ, ἀσθενήσαντος αὐτοῦ, οὐδέποτε ἀπέλειπε τὸν πάππον, οὐδὲ κλαίων ποτὲ ἐπαύετο· ἀλλὰ δῆλος ἦν πᾶσιν ὅτι ὑπερεφοβεῖτο, μή οἱ ὁ πάπ-

puisque votre père ne m'enseignera jamais, ni à qui que ce soit au monde, à plus désirer qu'il ne faut. »

CHAPITRE IV.

I. Après ces discours et plusieurs autres semblables, Mandane reprit le chemin de Perse, et Cyrus resta à la cour de son grand-père où il fut élevé. En peu de temps il fit amitié avec tous les jeunes gens de son âge, et gagna l'affection de leurs pères, qu'il visitait, et qui étaient charmés de sa bienveillance pour leurs fils. S'ils avaient quelque grâce à demander au roi, ils faisaient prier Cyrus par leurs enfants de la solliciter pour eux. Lui, de son côté, se piquant de générosité et de courtoisie, s'employait tout entier pour leurs affaires.

II. Et Astyage ne pouvait rien lui refuser; car, durant une maladie, son petit-fils ne l'avait jamais abandonné, et n'avait cessé de pleurer et de témoigner par toutes ses actions qu'il ne craignait rien tant

ὅτι δεδίδαχε καὶ ἅπαντας Μήδους
ἔχειν μεῖον ἑαυτοῦ ;
Ὥστε θάρσει,
ὡς ὁ σὸς πατήρ γε
ἀποπέμψει
οὔτε οὐδένα ἄλλον, οὔτε ἐμὲ
μαθόντα πλεονεκτεῖν.

qu'il a instruit même tous les Mèdes
à avoir moins que lui ?
Donc rassure-toi,
puisque le tien père du moins
ne renverra
ni aucun autre, ni moi
ayant appris à être-cupide.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Ὁ μὲν δὴ Κῦρος
ἐλάλει πολλὰ τοιαῦτα.
Τέλος δὲ ἡ μήτηρ μὲν ἀπῆλθε,
Κῦρος δὲ κατέμενε
καὶ ἐτρέφετο αὐτοῦ.
Καὶ μὲν συνεκέκρατο ταχὺ
τοῖς ἡλικιώταις,
ὥστε διακεῖσθαι οἰκείως·
ἀνήρτητο δὲ ταχὺ
τοὺς πατέρας αὐτῶν,
προσιὼν καὶ ὢν ἔνδηλος
ὅτι ᾐσπάζετο τοὺς υἱεῖς αὐτῶν·
ὥστε ἐκέλευον καὶ
τοὺς παῖδας δεῖσθαι Κύρου
διαπράξασθαί σφισιν,
εἰ δέοιντό
τι τοῦ βασιλέως.
Ὁ δὲ Κῦρος ἐποιεῖτο περὶ παντὸς
διαπράττεσθαι ὅ τι οἱ παῖδες
δέοιντο αὐτοῦ,
διὰ τὴν φιλανθρωπίαν
καὶ φιλοτιμίαν.
II. Καὶ δὲ ὁ Ἀστυάγης
ἐδύνατο ἀντέχειν οὐδὲν
ὅ τι ὁ Κῦρος δέοιτο αὐτοῦ,
μὴ οὐ χαρίζεσθαι.
Καὶ γάρ, αὐτοῦ ἀσθενήσαντος,
ἀπέλειπεν οὐδέποτε τὸν πάππον,
οὐδὲ ἐπαύετό ποτε κλαίων·
ἀλλὰ ἦν δῆλος πᾶσιν
ὅτι ὑπερεφοβεῖτο,

CHAPITRE IV.

I. A la vérité donc le Cyrus
bavardait beaucoup de telles-choses
Mais enfin la mère d'un côté partit,
de l'autre Cyrus resta
et fut élevé là.
Et d'un côté il fut mêlé bientôt
avec ceux de-son-âge,
au-point-d'être disposé familièrement;
de l'autre il s'attacha bientôt
les pères d'eux,
les visitant, et étant évident (montrant)
qu'il chérissait les fils d'eux;
au-point-qu'ils chargeaient même
les enfants de prier Cyrus
d'obtenir pour eux,
s'ils avaient besoin
en quelque chose du roi.
Et le Cyrus faisait au-dessus de tout
d'obtenir ce que les enfants
demandaient à lui,
à cause de sa bonté
et *de son* amour-propre.
II. Mais aussi l'Astyage
ne pouvait résister *en* rien
de ce que le Cyrus demandait à lui,
de manière à ne pas *lui* faire plaisir.
Et en effet, lui ayant été malade,
il ne quitta jamais le grand-père,
et ne cessa jamais pleurant;
mais il était évident à tous
qu'il craignait-extrêmement

πος ἀποθάνοι. Καὶ γὰρ ἐκ νυκτὸς[1] εἴ τινος δέοιτο Ἀστυάγης, πρῶτος ᾐσθάνετο Κῦρος, καὶ πάντων ἀοκνότατα ἀνεπήδα ὑπηρετήσων ὅ τι οἴοιτο χαριεῖσθαι· ὥστε παντάπασιν ἀνεκτήσατο τὸν Ἀστυάγην.

III. Καὶ ἦν μὲν ἴσως ὁ Κῦρος πολυλογώτερος[2], ἅμα μὲν διὰ τὴν παιδείαν, ὅτι ἠναγκάζετο ὑπὸ τοῦ διδασκάλου καὶ διδόναι λόγον ὧν ἐποίει, καὶ λαμβάνειν παρ' ἄλλων, ὁπότε δικάζοι· ἔτι δὲ καὶ διὰ τὸ φιλομαθὴς εἶναι, πολλὰ μὲν αὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα, πῶς ἔχοντα τυγχάνοι· καὶ ὅσα αὐτὸς ὑπ' ἄλλων ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι, ταχὺ ἀπεκρίνετο· ὥστε ἐκ πάντων τούτων ἡ πολυλογία συνελέγετο αὐτῷ. Ἀλλ' ὥσπερ γὰρ ἐν σώμασιν, ὅσοι νέοι ὄντες μέγεθος ἔλαβον, ὅμως ἐμφαίνεται τὸ νεαρὸν αὐτοῖς, ὃ κατηγορεῖ τὴν ὀλιγοετίαν, οὕτω καὶ Κύρου ἐκ τῆς πολυλογίας οὐ θράσος διεφαίνετο, ἀλλ' ἁπλότης

que sa mort. La nuit, si le roi avait besoin de quelque chose, Cyrus était toujours le premier à s'en apercevoir, et à se lever pour lui offrir ce qu'il croyait lui faire plaisir; si bien qu'il avait entièrement gagné son cœur.

III. Cyrus aimait peut-être trop à parler, ce qui venait en partie de son éducation qui l'obligeait perpétuellement de rendre raison à son maître de tout ce qu'il faisait, et d'entendre aussi les raisons des autres, lorsqu'il était juge; ajoutez à cela qu'à cause de son désir de s'instruire, il adressait toujours beaucoup de questions à ceux avec qui il se trouvait. Et, comme il avait l'esprit très-vif, il répondait promptement aux questions qu'on lui faisait. Tout cela contribuait à le rendre grand parleur: mais, comme les enfants qui sont arrivés de bonne heure au développement de leur croissance conservent néanmoins dans le visage un certain air de jeunesse, qui fait deviner leur véritable âge, de même on découvrait dans tous les discours de Cyrus tant

μὴ ὁ πάππος ἀποθάνοι οἱ.
Καὶ γὰρ εἰ Αστυάγης δέοιτό
τινος ἐκ νυκτὸς,
Κῦρος πρῶτος ᾐσθάνετο,
καὶ ἀνεπήδα
ἀοκνότατα πάντων,
ὑπηρετήσων
ὅ τι οἴοιτο χαριεῖσθαι·
ὥστε ἀνεκτήσατο παντάπασι
τὸν Ἀστυάγην.

III. Καὶ μεν ὁ Κῦρος
ἦν ἴσως πολυλογώτερος,
ἅμα μὲν
διὰ τὴν παιδείαν,
ὅτι ἠναγκάζετο
ὑπὸ τοῦ διδασκάλου
καὶ διδόναι λόγον
ὧν ἐποίει,
καὶ λαμβάνειν παρὰ ἄλλων,
ὁπότε δικάζοι·
ἔτι δὲ καὶ
διὰ τὸ εἶναι φιλομαθὴς,
αὐτὸς μὲν
ἀνηρώτα ἀεὶ
πολλὰ τοὺς παρόντας,
πῶς τυγχάνοι ἔχοντα·
καὶ ἀπεκρίνετο ταχὺ
ὅσα αὐτὸς
ἐρωτῷτο ὑπὸ ἄλλων,
διὰ τὸ εἶναι ἀγχίνους·
ὥστε ἡ πολυλογία
συνελέγετο αὐτῷ
ἐκ πάντων τούτων.
Ἀλλὰ γὰρ, ὥσπερ ἐν σώμασιν,
ὅσοι ὄντες νέοι
ἔλαβον μέγεθος,
τὸ νεαρὸν, ὃ κατηγορεῖ
τὴν ὀλιγοετίαν,
ἐμφαίνεται ὅμως αὐτοῖς,
οὕτω καὶ οὐ θράσος,

que le grand-père ne mourût à lui.
Et en effet, si Astyage avait-besoin
de-quelque-chose de nuit,
Cyrus le premier s'*en* apercevait,
et s'élançait
le plus diligemment de tous,
devant servir
ce qu'il croyait devoir-être-agréable;
de-sorte-qu'il avait gagné tout-à-fait
l'Astyage.

III. Et à la vérité le Cyrus
était peut-être trop-babillard,
à la fois d'un côté
à cause de l'éducation,
parce qu'il était obligé
par le maître
et de rendre compte
des-choses-qu'il faisait,
et de recevoir d'autres,
lorsqu'il jugeait;
de l'autre côté encore aussi,
à cause de l'être (parce qu'il était) ami-
lui-même à la vérité [de-s'instruire,
demandait toujours
bien-des-choses aux *gens* présents,
comment elles se trouvaient étant;
et il répondait promptement
à-tout-ce-*sur*-quoi lui-même
était interrogé par d'autres,
à cause de l'être présent-d'esprit;
de-sorte-que la loquacité
résultait à lui
de toutes ces choses.
Mais en effet, comme dans les corps
tous-ceux-qui étant jeunes
ont pris *leur* taille,
l'enfantin qui accuse
le peu-d'âge,
se manifeste pourtant en-eux,
de même aussi non de l'audace,

τις καὶ φιλοστοργία, ὥστε ἐπεθύμει ἄν τις ἔτι πλείω ἀκούειν αὐτοῦ, ἢ σιωπῶντι παρεῖναι.

IV. Ὡς δὲ προῆγεν ὁ χρόνος αὐτὸν, σὺν τῷ μεγέθει, εἰς ὥραν τοῦ πρόσηβον γενέσθαι, ἐν τούτῳ δὴ τοῖς μὲν λόγοις βραχυτέροις ἐχρῆτο, καὶ τῇ φωνῇ ἡσυχαιτέρᾳ. Αἰδοῦς δὲ ἐνεπίμπλατο, ὥστε καὶ ἐρυθραίνεσθαι, ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις· καὶ τὸ σκυλακῶδες, τὸ πᾶσιν ὁμοίως προσπίπτειν, οὐκέτι ὁμοίως προπετῶς εἶχεν[1]. Οὕτω δὴ ἡσυχαίτερος μὲν ἦν, ἐν δὲ ταῖς συνουσίαις πάμπαν ἐπίχαρις. Καὶ γὰρ ὅσα διαγωνίζονται πολλάκις ἥλικες πρὸς ἀλλήλους, οὐχ ἃ κρείσσων ᾔδει ὤν, ταῦτα προὐκαλεῖτο τοὺς συνόντας, ἀλλ' ἅπερ εὖ ᾔδει ἑαυτὸν ἥττονα ὄντα, ταῦτα ἐξῆρχε, φάσκων κάλλιον αὐτῶν ποιήσειν. Καὶ κατῆρχεν ἢ διαναπηδῶν ἐπὶ τοὺς ἵππους, ἢ διακοντιούμενος[2], ἢ

de naïveté simple et insinuante, sans la moindre prétention, qu'on préférait son babil à son silence, quand on se trouvait avec lui.

IV. Mais, à mesure qu'il approchait de l'adolescence, il commença à parler moins, et plus posément qu'auparavant, et devint même si modeste, qu'il rougissait quand il se trouvait avec des personnes plus âgées que lui. Ce qui acheva de lui faire perdre cette humeur folâtre, d'aborder indistinctement tout le monde, comme le font les petits chiens. Ainsi devenu plus posé, il n'en était que plus aimable dans la société. Dans les exercices où les jeunes gens ont coutume de se provoquer l'un l'autre, il ne défiait jamais ses compagnons aux choses qu'il était assuré de faire mieux qu'eux, mais à celles où il savait fort bien qu'il était moins adroit. Ainsi, il était toujours le premier à cheval pour lancer le javelot ou tirer de l'arc quoiqu'il ne s'y tînt pas

ἀλλά τις ἁπλότης
καὶ φιλοστοργία
διεφαίνετο
ἐκ τῆς πολυλογίας Κύρου,
ὥστε τις ἐπεθύμει ἂν
ἀκούειν
ἔτι πλείω αὐτοῦ,
ἢ παρεῖναι σιωπῶντι.

IV. Ὡς δὲ ὁ χρόνος
προῆγεν αὐτὸν,
σὺν τῷ μεγέθει, εἰς ὥραν
τοῦ γενέσθαι πρόσηβον,
ἐχρῆτο μὲν δὴ ἐν τούτῳ
τοῖς λόγοις βραχυτέροις
καὶ τῇ φωνῇ ἡσυχαιτέρᾳ·
ἐνεπίμπλατο δὲ αἰδοῦς,
ὥστε καὶ ἐρυθραίνεσθαι,
ὁπότε συντυγχάνοι
τοῖς πρεσβυτέροις·
καὶ οὐκέτι εἶχεν
ὁμοίως προπετῶς
τὸ σκυλακῶδες,
τὸ προσπίπτειν ὁμοίως πᾶσιν.
Οὕτως ἦν δὴ
ἡσυχαίτερος μὲν,
πάμπαν δὲ ἐπίχαρις
ἐν ταῖς συνουσίαις.
Καὶ γὰρ, ὅσα
ἥλικες διαγωνίζονται
πολλάκις πρὸς ἀλλήλους,
οὐ προὐκαλεῖτο
τοὺς συνόντας ταῦτα
ἃ ᾔδει ὢν κρείσσων,
ἀλλὰ ἐξῆρχε ταῦτα
ἅπερ ᾔδει εὖ
ἑαυτὸν ὄντα ἥττονα,
φάσκων ποιήσειν κάλλιον αὐτῶν,
Καὶ κατῆρχεν
ἢ διαναπηδῶν ἐπὶ τοὺς ἵππους,
ἢ διακοντιούμενος,

mais une certaine simplicité
et tendresse
se manifestait
par la loquacité de Cyrus,
au-point-que quelqu'un désirait
d'entendre
encore plus-de-choses de lui,
que d'être-auprès de *lui* se taisant.

IV. Mais comme le temps
eut avancé lui,
avec la croissance, vers l'époque
de devenir pubère,
il usa d'un côté déjà dans ce *temps*
des discours plus courts,
et de la voix plus modérée,
de l'autre il était-plein de modestie,
au point même de rougir,
lorsqu'il se rencontrait
avec les *hommes* plus âgés;
et il ne se comportait plus
au-même-degré pétulamment
quant à la manière-de-petit-chien
d'accourir également à tous.
Ainsi il était alors
d'abord plus calme,
puis tout-à-fait aimable
dans les sociétés.
Et en effet, en-quelque-chose-que
des camarades-d'âge rivalisent
souvent contre les-uns-les-autres,
il ne provoquait pas
les assistants *pour* ces choses
où il savait étant (qu'il était) plus fort,
mais il faisait-d'abord celles
dans lesquelles il savait bien
lui-même étant plus faible,
répétant devoir faire mieux qu'eux.
Et il commençait
ou s'élançant sur les chevaux,
ou devant lancer le javelot,

διατοξευσόμενος ἀπὸ τῶν ἵππων, οὔπω πάνυ ἔπεχος ὤν· ἡττώμενος δὲ, αὐτὸς ἐφ' ἑαυτῷ μάλιστα ἐγέλα.

V. Ὡς δ' οὐκ ἀπεδίδρασκεν ἐκ τοῦ ἡττᾶσθαι εἰς τὸ μὴ ποιεῖν ἃ ἡττῶτο, ἀλλ' ἐκαλινδεῖτο ἐν τῷ πειρᾶσθαι αὖθις βέλτιον ποιεῖν, ταχὺ μὲν εἰς τὸ ἴσον ἀφίκετο τῇ ἱππικῇ τοῖς ἥλιξι[1]· ταχὺ δὲ παρῆει, διὰ τὸ ἐρᾷν τοῦ ἔργου· ταχὺ δὲ τὰ ἐν τῷ παραδείσῳ θηρία ἀνηλώκει[2], διώκων καὶ βάλλων καὶ κατακαίνων· ὥστε ὁ Ἀστυάγης οὐκέτ' εἶχεν αὐτῷ συλλέγειν θηρία. Καὶ ὁ Κῦρος αἰσθόμενος ὅτι βουλόμενος οὐ δύναιτό οἱ[3] ζῶντα πολλὰ παρέχειν, ἔλεγε πρὸς αὐτόν· ὦ πάππε, τί σε δεῖ θηρία ζητοῦντα πράγματα ἔχειν; ἀλλ' ἢν ἐμὲ ἐκπέμπῃς ἐπὶ θήραν σὺν τῷ θείῳ, νομιῶ, ὅσα ἂν ἴδω θηρία, ἐμοὶ ταῦτα τρέφεσθαι.

VI. Ἐπιθυμῶν δὲ σφόδρα ἐξιέναι ἐπὶ τὴν θήραν, οὐκέθ' ὁμοίως λιπαρεῖν ἐδύνατο, ὥσπερ παῖς ὤν, ἀλλ' ὀκνηρότερον

encore fort bien; et vaincu, il était encore le premier à se moquer de sa maladresse.

V. Comme il ne se rebutait point d'un exercice parce qu'il y était faible, et qu'au contraire il s'y attachait encore plus obstinément, bientôt il n'égala pas seulement les autres dans l'équitation, mais même il les dépassa de beaucoup, grâce à l'ardeur qu'il apportait aux exercices. Il ne tarda guère à dépeupler de bêtes fauves le parc du roi, à force de les poursuivre, et de les tuer, de sorte qu'Astyage ne savait plus où lui en trouver. Cyrus ayant remarqué la peine où il était, lui disait souvent qu'il n'était point nécessaire de s'embarrasser de ce soin là. « Mais, ajoutait-il, si vous voulez m'envoyer à la chasse avec mon oncle, je m'imaginerai que vous nourrissiez pour moi toutes les bêtes que je verrai. »

VI. Mais, bien qu'il eût un très-violent désir de se trouver à ces chasses, il n'osait pas néanmoins presser Astyage, comme il faisait

ἢ διατοξευσόμενος
ἀπὸ τῶν ἵππων,
ὢν οὔπω
πάνυ ἔποχος·
ἡττώμενος δὲ, αὐτὸς
ἐγέλα μάλιστα ἐπὶ ἑαυτῷ.

V. Ὡς δὲ οὐκ ἀπεδίδρασκεν
ἐκ τοῦ ἡττᾶσθαι
εἰς τὸ μὴ ποιεῖν
ἃ ἡττῷτο,
ἀλλὰ ἐκαλινδεῖτο
ἐν τῷ πειρᾶσθαι αὖθις
ποιεῖν βελτιον,
ἀφίκετο μὲν ταχὺ
εἰς τὸ ἴσον τοῖς ἥλιξι
τῇ ἱππικῇ·
παρῄει δὲ ταχὺ,
διὰ τὸ ἐρᾷν τοῦ ἔργου·
ἀνηλώκει δὲ ταχὺ
τὰ θηρία ἐν τῷ παραδείσῳ,
διώκων καὶ βάλλων καὶ κατακαίνων·
ὥστε ὁ Ἀστυάγης εἶχεν οὐκέτι
συλλέγειν θηρία αὐτῷ
Καὶ ὁ Κῦρος αἰσθόμενος
ὅτι βουλόμενος οὐ δύναιτο
παρέχειν
πολλὰ ζῶντά οἱ,
ἔλεγε πρὸς αὐτόν·
ὦ πάππε, τί δεῖ
σὲ ζητοῦντα θηρία
ἔχειν πράγματα;
ἀλλὰ ἣν ἐκπέμπῃς ἐμε
ἐπὶ θήραν σὺν τῷ θείῳ,
ὅσα ἴδω ἂν θηρία,
νομιῶ
ταῦτα τρέφεσθαι ἐμοί.

VI. Ἐπιθυμῶν δὲ σφόδρα
ἐξιέναι ἐπὶ τὴν θήραν,
ἐδύνατο οὐκέτι λιπαρεῖν
ὁμοίως ὥσπερ ὢν παῖς,

ou devant tirer de l'arc
de-dessus des chevaux,
n'étant pas encore
tout-à-fait ferme-à-cheval;
mais étant surpassé, lui
riait le plus de lui-même.

V. Et comme il ne se réfugiait pas
par suite de l'être surpassé (après une
dans le ne pas faire [défaite)
les choses où il était surpassé,
mais s'opiniâtrait
à essayer de nouveau
de faire mieux,
il parvint d'abord bientôt
à l'égal avec-ceux de-son-âge
pour l'équitation;
ensuite il dépassait bientôt,
à cause d'aimer (parce qu'il aimait) la
et il avait détruit bientôt [chose,
les bêtes dans le parc,
poursuivant, et frappant, et tuant;
de sorte que l'Astyage ne pouvait plus
rassembler des bêtes pour lui.
Et le Cyrus ayant remarqué
que voulant il ne pouvait
procurer
beaucoup de bêtes-vivantes à lui,
disait à lui :
O grand-père, pourquoi faut-il
toi cherchant des bêtes
avoir des embarras?
mais si tu envoies moi
à la chasse avec l'oncle,
autant que je verrai de bêtes,
je croirai
celles-là être nourries pour moi.

VI. Mais désirant beaucoup
sortir pour la chasse,
il ne pouvait plus insister
de même qu'étant enfant,

προσῄει. Καὶ ἃ πρόσθεν τῷ Σάκᾳ ἐμέμφετο, ὅτι οὐ παρίει αὐτὸν πρὸς τὸν πάππον, αὐτὸς ἤδη Σάκας ἑαυτῷ ἐγίγνετο· οὐ γὰρ προσῄει, εἰ μὴ προΐδοι εἰ καιρὸς εἴη· καὶ τοῦ Σάκα ἐδεῖτο πάντως σημαίνειν αὐτῷ, ὁπότε ἐγχωροίη εἰσιέναι, καὶ ὁπότε οὐ καιρὸς εἴη· ὥστε ὁ Σάκας ἤδη ὑπερεφίλει αὐτὸν, ὥσπερ καὶ οἱ ἄλλοι πάντες.

VII. Ἐπεὶ δ' οὖν ἔγνω ὁ Ἀστυάγης σφόδρα αὐτὸν ἐπιθυμοῦντα ἔξω θηρᾶν, ἐκτέμπει αὐτὸν σὺν τῷ θείῳ, καὶ φύλακας συμπέμπει ἐφ' ἵππων πρεσβυτέρους, ὅπως ἀπὸ τῶν δυσχερειῶν φυλάττοιεν[1] αὐτὸν, καὶ εἰ τῶν ἀγρίων τι φανείη θηρίων. Ὁ οὖν Κῦρος τῶν ἑπομένων προθύμως ἐπυνθάνετο, ὁποίοις οὐ χρὴ θηρίοις πελάζειν, καὶ ὁποῖα χρὴ θαρροῦντα διώκειν. Οἱ δ' ἔλεγον ὅτι ἄρκτοι τε πολλοὺς ἤδη πλησιάσαντας διέφθειραν, καὶ λέοντες, καὶ κάπροι, καὶ παρδάλεις· αἱ δὲ ἔλαφοι, καὶ δορκάδες, καὶ οἱ

quand il était jeune. Même, il le visitait avec plus de réserve ; et au lieu qu'auparavant il se plaignait de ce que Sacas l'empêchait de le voir à toute heure, il était devenu pour lui-même un autre Sacas, il commençait à choisir son temps pour aller chez le roi, et priait Sacas de l'avertir des heures commodes ; de sorte que celui-ci l'aimait beaucoup, comme tous les autres.

VII. Cependant Astyage s'étant aperçu qu'il avait une si forte passion de chasser hors du parc, lui permit d'accompagner son oncle, et lui donna des gardes à cheval, qui devaient le suivre partout, pour empêcher qu'il ne s'engageât en des lieux difficiles, ou contre des bêtes féroces. Durant le chemin, Cyrus s'informait soigneusement auprès de ceux qui l'accompagnaient, de quelles bêtes il fallait se garder et quelles étaient celles qu'on pouvait attaquer. Ils lui répondaient, que les ours, les lions, les sangliers et les léopards étaient fort à craindre, et que plusieurs chasseurs avaient péri, pour les avoir poursuivis de trop près ; mais, qu'il n'y avait point de danger de s'attacher aux cerfs, aux chevreuils, aux brebis et aux ânes sauvages. Ils lui disaient

ἀλλὰ προσῄει	mais il approchait
ὀκνηρότερον.	plus timidement.
Καὶ ἃ ἐμέμφετο	Et *pour* ce qu'il reprochait
πρόσθεν τῷ Σάκᾳ,	auparavant au Sacas,
ὅτι οὐ παρίει αὐτὸν	qu'il n'admettait pas lui
πρὸς τὸν πάππον,	chez le grand-père,
αὐτὸς ἐγίγνετο ἤδη	lui-même devint déjà
Σάκας ἑαυτῷ·	un Sacas pour lui-même;
οὐ γαρ προσῄει,	car il n'approchait pas,
εἰ μὴ προΐδοι	s'il n'avait-vu-d'avance
εἰ καιρὸς εἴη.	si le moment était.
Καὶ ἐδεῖτο πάντως	Et il priait de-toute-manière
τοῦ Σάκα σημαίνειν αὐτῷ,	le Sacas d'indiquer à lui,
ὁπότε ἐγχωροίη εἰσιέναι,	lorsqu'il serait-à-propos d'entrer,
καὶ ὁπότε καιρὸς οὐκ εἴη·	et lorsque le moment ne serait pas;
ὥστε ὁ Σάκας	de-sorte-que le Sacas
ὑπερεφίλει ἤδη αὐτὸν,	aimait-extrêmement déjà lui,
ὥσπερ καὶ πάντες οἱ ἄλλοι.	comme aussi tous les autres.
VII. Ἐπεὶ δὲ οὖν ὁ Ἀστυάγης ἔγνω	VII. Or donc dès que l'Astyage sut
αὐτὸν ἐπιθυμοῦντα σφόδρα	lui désirant beaucoup
θηρᾶν ἔξω,	chasser au-dehors,
ἐκπέμπει αὐτὸν σὺν τῷ θείῳ,	il envoie lui avec l'oncle,
καὶ συμπέμπει	et envoie-avec
φύλακας πρεσβυτέρους ἐπὶ ἵππων,	des gardes plus âgés sur des chevaux,
ὅπως φυλάττοιεν αὐτὸν	afin qu'ils préservent lui
ἀπὸ τῶν δυσχερειῶν,	des lieux-difficiles,
καὶ εἴ τι τῶν θηρίων ἀγρίων	et si quelqu'une des bêtes sauvages
φανείη.	se montrait.
Ὁ οὖν Κῦρος ἐπυνθάνετο	Donc le Cyrus s'informait
προθύμως τῶν ἑπομένων,	soigneusement des suivants,
ὁποίοις θηρίοις	de quelles bêtes
οὐ χρὴ πελάζειν,	il ne faut pas approcher,
καὶ ὁποῖα χρὴ	et lesquelles il faut
θαῤῥοῦντα διώκειν·	prenant-courage poursuivre;
οἱ δὲ ἔλεγον	et ceux-ci disaient
ὅτι ἄρκτοι τε καὶ λέοντες,	que et des ours, et des lions,
καὶ κάπροι, καὶ παρδάλεις	et des sangliers, et des léopards
διέφθειραν ἤδη πολλοὺς	ont tué déjà beaucoup *d'hommes*,
πλησιάσαντας·	s'étant approchés;
αἱ δὲ ἔλαφοι, καὶ δορκάδες,	mais *que* les cerfs et les chevreuils

ἄγριοι ὅτιες, καὶ οἱ ὄνοι οἱ ἄγριοι, ἀσινεῖς εἰσίν. Ἔλεγον δὲ καὶ τοῦτο, τὰς δυσχωρίας ὅτι δέοι φυλάττεσθαι οὐδὲν ἧττον ἢ τὰ θηρία· πολλοὺς γὰρ ἤδη αὐτοῖς τοῖς ἵπποις[1] κατακρημνισθῆναι.

πολλάκις μέχρις ἑσπέρας.
Ἐπεὶ δὲ ἑώρων
τοὺς μὲν σφετέρους
φερομένους φυγῇ εἰς αὐτους,
τοὺς δὲ ἀμφὶ Κῦρον
φερομένους ὁμοῦ ἐπὶ αὐτοὺς,
τὸν δὲ Ἀστυάγην γιγνόμενον ἤδη
ἐντὸς τοξεύματος
σὺν τοῖς ἵπποις,
ἐκκλίνουσι καὶ φεύγουσιν.
Οἱ δὲ, ἅτε διώκοντες
ὁμόθεν ἀνὰ κράτος,
ᾔρουν πολλούς·
καὶ ἔπαιον τοὺς μὲν ἁλισκομένους,
καὶ ἵππους καὶ ἄνδρας,
κατέκτινον τοὺς δὲ πίπτοντας·
καὶ οὐκ ἔστησαν πρόσθεν
πρὶν ἢ ἐγένοντο
πρὸς τοῖς πεζοῖς τῶν Ἀσσυρίων
Ἐνταῦθα μέντοι δείσαντες
μή τις ἐνέδρα μείζων
ὑπείη καὶ,
ἐπέσχον.

XXIV. Ὁ Ἀστυάγης
ἀνῆγεν δὴ ἐκ τούτου,

XXIII. Mais dès qu'ils virent
les Mèdes s'étant ébranlés,
les ennemis de leur côté,
les uns ayant tendu les javelots,
les autres les arcs,
firent halte;
comme *les Mèdes* devant s'arrêter
après qu'ils seraient arrivés
à la-portée-du-trait,
comme ils avaient coutume
de faire le plus souvent.
Car ils s'avançaient
les uns contre les autres jusque-là,
lorsqu'ils venaient le plus près,
et lançaient des flèches
souvent jusqu'au soir.
Mais lorsqu'ils voyaient
d'un côté les leurs
se-portant en fuite vers eux,
de l'autre ceux autour de Cyrus
se portant en-même-temps contre eux,
et l'Astyage venant déjà
au-dedans de la portée-de-l'arc
avec les chevaux,
ils s'ébranlent et s'enfuient.
Les autres, comme poursuivant
de près avec effort,
en prirent beaucoup;
et frappaient les uns étant pris,
et chevaux et hommes,
tuaient les autres tombant;
et ils ne s'arrêtèrent pas plus-tôt
avant qu'ils fussent arrivés
auprès des fantassins des Assyriens.
Cependant là ayant craint
que quelque embûche plus grande
ne fût cachée encore,
ils firent halte.

XXIV. L'Astyage
s'en retourna donc après cela,

ἱπποκρατίᾳ· καὶ τὸν Κῦρον [1] οὐκ ἔχων ὅ τ χρὴ λέγειν· αἴτιον εἰδὼς ὄντα τοῦ ἔργου, μαινόμενον [2] δὲ γιγνώσκων τῇ τόλμῃ. Καὶ γὰρ τότε ἀπιόντων οἴκαδε τῶν ἄλλων, μόνος ἐκεῖνος οὐδὲν ἄλλο ἢ τοὺς πεπτωκότας περιελαύνων ἐθεᾶτο· καὶ μόλις αὐτὸν ἀφελκύσαντες οἱ ἐπὶ τοῦτο ταχθέντες, προσήγαγον τῷ Ἀστυάγει, μάλα ἐπίπροσθεν ποιούμενον [3] τοὺς προσάγοντας, ὅτι ἑώρα τὸ πρόσωπον τοῦ πάππου ἠγριωμένον ἐπὶ τῇ θέᾳ τῇ αὑτοῦ.

XXV. Ἐν μὲν δὴ Μήδοις ταῦτα ἐγεγένητο· καὶ οἵ τε ἄλλοι πάντες τὸν Κῦρον διὰ στόματος εἶχον, καὶ ἐν λόγῳ, καὶ ἐν ᾠδαῖς· ὅ τε Ἀστυάγης, καὶ πρόσθεν τιμῶν αὐτὸν, τότε ὑπερεξεπέπληκτο ἐπ' αὐτῷ. Καμβύσης δὲ, ὁ τοῦ Κύρου πατὴρ, ἥδετο μὲν πυνθανόμενος ταῦτα· ἐπεὶ δὲ ἤκουσεν ἀνδρὸς ἤδη ἔργα διαπραττόμενον τὸν Κῦρον, ἀπεκάλει, ὅπως τὰ ἐν Πέρσαις ἐπιχώρια ἀποτελοίη. Καὶ τὸν Κῦρον δὴ ἐνταῦθα λέγεται εἰπεῖν,

porté par sa cavalerie, mais assez embarrassé de ce qu'il devait dire à Cyrus : car il voyait bien qu'il était cause de cet heureux succès; mais il trouvait en lui une témérité qui approchait de la fureur. En effet, lorsque déjà tout le monde se retirait, lui seul, resté sur le champ de bataille, se promenait à cheval de côté et d'autre, pour regarder les morts dont la campagne était couverte. Ceux qui étaient chargés de l'accompagner, eurent assez de peine à l'arracher de là. Ils le ramenèrent néanmoins à Astyage; mais il se cachait derrière eux, parce qu'il avait remarqué un air de colère sur le visage du roi.

XXV. C'est ainsi que les choses se passèrent parmi les Mèdes; aussi tous avaient le nom de Cyrus à la bouche, et dans les entretiens familiers, et dans les chansons même; et Astyage, qui l'estimait déjà beaucoup, ne pouvait plus lui refuser son admiration. A la nouvelle de cette victoire, Cambyse, père de Cyrus, fut rempli de joie, et lorsqu'il apprit que son fils montrait déjà la valeur d'un homme fait, il le rappela, pour lui faire achever son éducation suivant la méthode reçue en Perse. Cyrus déclara aussitôt qu'il était prêt à partir,

μάλα χαίρων
τῇ ἱπποκρατίᾳ·
καὶ οὐκ ἔχων
ὅ τι χρὴ λέγειν τὸν Κῦρον·
εἰδὼς μὲν
ὄντα αἴτιον τοῦ ἔργου,
γιγνώσκων δὲ
μαινόμενον τῇ τόλμῃ.
Καὶ γὰρ τῶν ἄλλων
ἀπιόντων τότε οἴκαδε,
ἐκεῖνος μόνος περιελαύνων
ἐθεᾶτο οὐδὲν ἄλλο
ἢ τοὺς πεπτωκότας·
καὶ οἱ ταχθέντες ἐπὶ τοῦτο,
ἀφελκύσαντες μόλις αὐτὸν,
προσήγαγον τῷ Ἀστυάγει
ποιούμενον τοὺς προσάγοντας
μάλα ἐπίπροσθεν,
ὅτι ἑώρα
τὸ πρόσωπον τοῦ πάππου
ἠγριωμένον ἐπὶ τῇ θέᾳ τῇ αὐτοῦ.

XXV. Ταῦτα μὲν δὴ
ἐγεγένητο ἐν Μήδοις·
καὶ οἵ τε ἄλλοι πάντες
εἶχον τὸν Κῦρον διὰ στόματος,
καὶ ἐν λόγῳ, καὶ ἐν ᾠδαῖς·
ὅ τε Ἀστυάγης,
τιμῶν αὐτὸν καὶ πρόσθεν,
ὑπερεξεπέπληκτο
τότε ἐπὶ αὐτῷ.
Καμβύσης δὲ, ὁ πατὴρ τοῦ Κύρου,
πυνθανόμενος ταῦτα
ἥδετο μέν·
ἐπεὶ δὲ ἤκουσε
τὸν Κῦρον διαπραττόμενον ἤδη
ἔργα ἀνδρὸς,
ἀπεκάλει, ὅπως ἀποτελοίη
τὰ ἐπιχώρια ἐν Πέρσαις.
Καὶ λέγεται τὸν Κῦρον
εἰπεῖν δὴ ἐνταῦθα,

fort content
de la victoire de la cavalerie;
et n'ayant pas (ne sachant pas)
ce qu'il faut dire au Cyrus,
le sachant d'un côté
étant auteur de l'action,
de l'autre *le* reconnaissant
étant-fou par l'audace.
Et en effet les autres
s'en allant alors chez eux,
celui-là seul se-promenant-à-cheval,
ne regardait aucune autre chose
que les morts;
et ceux préposés à cela
ayant arraché à peine lui,
conduisirent à l'Astyage
lui faisant (laissant) ceux qui *le* con-
beaucoup en avant de *lui*, [duisaient
parce qu'il voyait
la figure du grand-père
devenue sévère à la vue, celle de lui.

XXV. Ces choses donc à la vérité
étaient arrivées parmi les Mèdes;
aussi et les autres tous
avaient le Cyrus à la bouche,
et dans le discours, et dans les chants;
et l'Astyage,
estimant lui aussi auparavant,
était-plein-d'admiration
alors pour lui.
Et Cambyse, le père du Cyrus,
apprenant ces choses,
se réjouissait d'abord;
puis lorsqu'il apprit
le Cyrus exécutant déjà
des actions d'homme,
il *le* rappela, afin qu'il achevât
les choses nationales parmi les Perses.
Et il est dit le Cyrus
avoir dit déjà alors

ὅτι ἀπιέναι βούλοιτο, μὴ ὁ πατήρ τι ἄχθοιτο, καὶ ἡ πόλις μέμφοιτο. Καὶ τῷ Ἀστυάγει δὲ ἐδόκει ἀναγκαῖον εἶναι ἀποπέμπειν αὐτόν. Ἔνθα δὴ ἵππους τε αὐτῷ δοὺς οὓς αὐτὸς ἐπεθύμει λαβεῖν, καὶ ἄλλα συσκευάσας παντοδαπὰ, ἀπέπεμπε, καὶ διὰ τὸ φιλεῖν αὐτὸν, καὶ ἅμα ἐλπίδας μεγάλας ἔχων ἐν αὐτῷ, ἄνδρα ἔσεσθαι ἱκανὸν καὶ φίλους ὠφελεῖν, καὶ ἐχθροὺς ἀνιᾷν. Ἀπιόντα δὲ τὸν Κῦρον προὔπεμπον ἅπαντες, καὶ παῖδες, καὶ ἥλικες, καὶ ἄνδρες, καὶ γέροντες, ἐφ' ἵππων, καὶ Ἀστυάγης αὐτὸς, καὶ οὐδένα ἔφασαν ὅντιν'[1] οὐ δακρύοντ' ἀποστρέφεσθαι.

XXVI. Καὶ Κῦρον δὲ αὐτὸν σὺν πολλοῖς δακρύοις λέγεται ἀποχωρῆσαι. Πολλὰ δὲ δῶρα διαδοῦναι αὐτόν φασι τοῖς ἡλικιώταις, ὧν Ἀστυάγης αὐτῷ ἐδεδώκει· τέλος δὲ, καὶ ἣν εἶχε στολὴν τὴν Μηδικὴν ἐκδύντα δοῦναί τινι, δηλῶν[2] ὅτι τοῦτον μάλιστα ἠσπάζετο. Τοὺς μέντοι λαβόντας καὶ δεξαμένους[3] τὰ δῶρα λέγεται

de peur que le moindre retardement ne donnât sujet à son père, ou à sa patrie, de se plaindre de lui. Astyage jugea aussi qu'il était nécessaire de le renvoyer; il lui donna à choisir parmi tous ses chevaux, et lui fit encore plusieurs autres présents, par amour pour lui, et en considération de la grande espérance qu'il avait conçue de le voir un jour capable d'être utile à ses amis et formidable à ses adversaires. A son départ tout le monde l'accompagna à cheval, les enfants, les jeunes gens, les hommes, les vieillards. Astyage lui-même le conduisit assez loin; et quand il fallut se séparer, il n'y eut personne qui ne versât des larmes.

XXVI. Cyrus lui-même, les yeux baignés de larmes, distribua à ses amis une grande partie des présents qu'Astyage lui avait faits, et finit par se dépouiller de sa robe mède pour la donner à celui qu'il aimait le plus tendrement. Ces présents furent, dit-on, acceptés sur-le-champ par les amis de Cyrus; mais ensuite ils les renvoyèrent à Astyage,

ὅτι βούλοιτο ἀπιέναι,	qu'il voulait partir,
μὴ ὁ πατὴρ	afin que le père
ἄχθοιτό τι,	ne se fâchât pas en quelque chose,
καὶ ἡ πόλις μέμφοιτο.	et que la cité ne *le* blâmât pas.
Ἐδόκει δὲ καὶ τῷ Ἀστυάγει	Et il paraissait aussi à l'Astyage
εἶναι ἀναγκαῖον ἀποπέμπειν αὐτόν.	être nécessaire de renvoyer lui.
Δοὺς δὴ ἔνθα αὐτῷ	Donc ayant donné alors à lui
ἵππους τε,	et des chevaux,
οὓς αὐτὸς ἐπεθύμει λαβεῖν,	lesquels lui-même désirait prendre,
καὶ συσκευάσας	et ayant rassemblé
ἄλλα παντοδαπὰ,	d'autres choses diverses,
ἀπέπεμπε,	il *le* congédia,
καὶ διὰ τὸ φιλεῖν αὐτὸν,	et pour l'aimer lui (parce qu'il l'ai-
καὶ ἔχων ἅμα	et ayant en-même-temps [mait),
μεγάλας ἐλπίδας ἐν αὐτῷ,	de grandes espérances en lui,
ἔσεσθαι ἄνδρα ἱκανὸν	*lui* devoir être un homme propre,
καὶ ὠφελεῖν φίλους,	et *à* aider *ses* amis,
καὶ ἀνιᾷν ἐχθρούς.	et *à* affliger *ses* ennemis.
Ἅπαντες δὲ, καὶ παῖδες,	Mais tous, et enfants,
καὶ ἥλικες, καὶ ἄνδρες,	et jeunes-gens, et hommes,
καὶ γέροντες, καὶ Ἀστυάγης αὐτὸς,	et vieillards, et Astyage lui-même,
προὔπεμπον ἐπὶ ἵππων	reconduisaient à cheval
τὸν Κῦρον ἀπιόντα·	le Cyrus s'en allant;
καὶ ἔφασαν οὐδένα ὅντινα	et on disait aucun qui-que-ce-fût
ἀποστρέφεσθαι οὐ δακρύοντα.	ne s'en retourner non pleurant (sans
XXVI. Λέγεται δὲ	XXVI. Et il est dit [pleurer).
Κῦρον καὶ αὐτὸν ἀποχωρῆσαι	Cyrus aussi lui-même être parti
σὺν πολλοῖς δακρύοις.	avec beaucoup de larmes.
Φασὶ δὲ αὐτὸν διαδοῦναι	Et ils disent lui avoir distribué
τοῖς ἡλικιώταις	aux camarades d'âge
πολλὰ δῶρα,	beaucoup de présents,
ὧν Ἀστυάγης	de *ceux* lesquels Astyage
ἐδεδώκει αὐτῷ·	avait donnés à lui;
τέλος δὲ, ἐκδύντα καὶ	mais enfin, ayant ôté aussi
τὴν στολὴν Μηδικὴν ἣν εἶχε,	le costume mède qu'il avait,
δοῦναί τινι	avoir donné à quelqu'un,
δηλῶν	manifestant
ὅτι ἠσπάζετο μάλιστα τοῦτον.	qu'il chérissait le plus celui-ci.
Λέγεται μέντοι τοὺς λαβόντας	Cependant il est dit ceux ayant pris
καὶ δεξαμένους τὰ δῶρα	et ayant accepté les présents

Ἀστυάγει ἀπενεγκεῖν· Ἀστυάγην δὲ δεξάμενον Κύρῳ ἀποπέμψαι· τὸν δὲ πάλιν τε ἀποπέμψαι εἰς Μήδους, καὶ εἰπεῖν· ὦ πάππε, εἰ βούλει με καὶ πάλιν ἰέναι ὡς σέ, μὴ αἰσχυνόμενον, ἕα ἔχειν, εἴ τῷ τι ἐγὼ δέδωκα· Ἀστυάγην δὲ ταῦτα ἀκούσαντα, ποιῆσαι ὥσπερ ὁ Κῦρος ἐπέστειλεν.

XXVII. Εἰ δὲ δεῖ καὶ παιδικοῦ λόγου ἐπιμνησθῆναι, λέγεται, ὅτε Κῦρος ἀπῄει, καὶ ἀπηλλάττοντο[1] ἀπ' ἀλλήλων, τοὺς συγγενεῖς φιλοῦντας τῷ στόματι, ἀποπέμπεσθαι αὐτὸν, νόμῳ Περσικῷ· (καὶ γὰρ νῦν ἔτι τοῦτο ποιοῦσι Πέρσαι·) ἄνδρα δή τινα τῶν Μήδων, μάλα καλὸν κἀγαθὸν[2] ὄντα, ἐκπεπλῆχθαι πολύν τινα χρόνον ἐπὶ[3] τῷ κάλλει τοῦ Κύρου· ἡνίκα δὲ ἑώρα τοὺς συγγενεῖς φιλοῦντας αὐτὸν, ὑπολειφθῆναι· ἐπεὶ δὲ οἱ ἄλλοι ἀπῆλθον, προσελθεῖν τῷ Κύρῳ, καὶ εἰπεῖν· ἐμὲ μόνον οὐ γιγνώσκεις τῶν συγγενῶν, ὦ Κῦρε; Τί δέ; εἰπεῖν τὸν Κῦρον, ἦ καὶ σὺ συγγε-

qui les fit remettre de nouveau à son petit-fils; celui-ci les renvoya aussitôt à ses jeunes amis, et écrivit à Astyage, que s'il voulait le voir retourner un jour dans la Médie sans rougir, il permît à chacun de garder ce qui lui avait été donné. Astyage y consentit.

XXVII. A propos du départ de Cyrus, on raconte encore une anecdote que je ne crois pas indigne d'être rappelée. Au moment de s'éloigner de lui, tous ses parents l'embrassèrent sur la bouche, selon un usage des Perses, qui s'observe encore de nos jours. Un Mède de distinction, qui depuis longtemps était frappé de la beauté de Cyrus, voyant de loin les adieux que lui faisaient ses parents, attendit qu'ils se fussent tous retirés, et, s'étant approché de Cyrus : « Eh quoi! dit-il, suis-je le seul de tous vos parents que vous méconnaissiez? » « Comment, répondit Cyrus, êtes-vous aussi de mes

ἀπενεγκεῖν Ἀστυάγει·	*les* avoir rapportés à Astyage ;
Ἀστυαγην δὲ δεξάμενον	et Astyage *les* ayant reçus,
ἀποπεμψαι Κύρῳ·	avoir renvoyé à Cyrus ;
τον δὲ ἀποπέμψαι τε	mais celui-ci et *les* avoir renvoyés
πάλιν εἰς Μήδους,	de nouveau chez *les* Mèdes,
καὶ εἰπεῖν· ὦ πάππε,	et avoir dit : O grand-père,
εἰ βούλει με μὴ αἰσχυνόμενον	si tu veux moi ne rougissant pas
ἰέναι καὶ πάλιν ὡς σὲ,	aller aussi de nouveau chez toi,
ἔα ἔχειν, εἰ ἐγὼ δέδωκά	laisse garder, si j'ai donné
τί τῳ·	quelque chose à quelqu'un;
Ἀστυάγην δὲ ἀκούσαντα ταῦτα,	et Astyage ayant entendu ces *paroles*,
ποιῆσαι ὥσπερ ὁ Κῦρος ἐπέστειλεν.	avoir fait comme le Cyrus mandait.
XXVII. Εἰ δὲ δεῖ ἐπιμνησθῆναι	XXVII. Et s'il faut faire mention
καὶ λόγου παιδικοῦ,	aussi d'un récit amoureux,
λέγεται,	il est dit,
ὅτε Κῦρος ἀπῄει,	lorsque Cyrus s'en allait,
καὶ ἀπηλλάττοντο	et *qu'*ils se séparaient
ἀπ' ἀλλήλων,	les uns des autres,
τοὺς συγγενεῖς φιλοῦντας	les parents baisant
τῷ στόματι	sur la bouche
νόμῳ Περσικῷ,	d'après un usage perse,
ἀποπέμπεσθαι αὐτόν·	congédier lui ;
(καὶ γὰρ Πέρσαι	(et en effet les Perses
ποιοῦσιν ἔτι νῦν τοῦτο·)	font encore aujourd'hui cela);
τινα δὴ ἄνδρα τῶν Μήδων,	or un certain homme des Mèdes,
ὄντα μάλα καλὸν καὶ ἀγαθὸν,	étant très-beau et bon,
ἐκπεπλῆχθαί	avoir été frappé
τινα χρόνον πολὺν	un temps considérable
ἐπὶ τῷ κάλλει τοῦ Κύρου·	par la beauté du Cyrus ;
ἡνίκα δὲ ἑώρα	et lorsqu'il vit
τοὺς συγγενεῖς φιλοῦντας αὐτὸν,	les parents embrassant lui,
ὑπολειφθῆναι·	s'être arrête de loin ;
ἐπεὶ δὲ οἱ ἄλλοι	et après que les autres
ἀπῆλθον,	s'en furent allés,
προσελθεῖν τῷ Κύρῳ,	s'être approché du Cyrus,
καὶ εἰπεῖν·	et avoir dit :
οὐ γιγνώσκεις ἐμὲ μόνον	Ne reconnais-tu pas moi seul
τῶν συγγενῶν, ὦ Κῦρε;	des parents, ô Cyrus?
Τὸν Κῦρον εἰπεῖν· τί δέ;	Cyrus avoir dit : Mais quoi?
ἢ σὺ καὶ εἶ συγγενής;	Est-ce que toi aussi es parent?

νὴς εἶ; Μάλιστα, φάναι. Ταῦτ'[1] ἄρα, εἰπεῖν τὸν Κῦρον, καὶ ἐνεώρας μοι· πολλάκις γὰρ δοκῶ σε γιγνώσκειν τοῦτο ποιοῦντα. Προσελθεῖν γάρ σοι ἀεὶ βουλόμενος, ἔφη, ναὶ μὰ τοὺς θεοὺς, ᾐσχυνόμην. Ἀλλ' οὐκ ἔδει, φάναι τὸν Κῦρον, συγγενῆ γε ὄντα. Ἅμα δὲ προσέλθοντα φιλῆσαι αὐτόν.

XXVIII. Καὶ τὸν Μῆδον φιληθέντα ἐρέσθαι· ἦ καὶ ἐν Πέρσαις νόμος ἐστὶν συγγενεῖς φιλεῖν; Μάλιστα, φάναι, ὅταν γε ἴδωσιν ἀλλήλους διὰ χρόνου, ἢ ἀπίωσί ποι ἀπ' ἀλλήλων. Ὥρα ἂν εἴη, ἔφη ὁ Μῆδος, μάλα πάλιν σε φιλεῖν ἐμέ· ἀπέρχομαι γὰρ, ὡς ὁρᾷς, ἤδη. Οὕτω καὶ τὸν Κῦρον πάλιν φιλήσαντα ἀποπέμπειν, καὶ ἀπιέναι. Καὶ ὁδόν τε οὔπω πολλὴν διηνύσθαι αὐτοῖς, καὶ τὸν Μῆδον ἥκειν πάλιν ἱδροῦντι τῷ ἵππῳ· καὶ τὸν Κῦρον ἰδόντα· ἀλλ' ἦ, φάναι, ἐπελάθου τι ὧν ἐβούλου εἰπεῖν; Νὴ Δία, φάναι, ἀλλ' ἥκω διὰ χρόνου. Καὶ τὸν Κῦρον εἰπεῖν· νὴ Δί', ὦ συγ-

parents? » « Vraiment oui, » repartit le Mède. « C'est donc pour cela, reprit Cyrus, que vous me regardiez toujours si attentivement car il me semble que je l'ai souvent remarqué! » « Cela est vrai, dit le Mède; et quoique j'eusse toujours désiré de m'approcher de vous, je ne l'ai pourtant jamais osé faire. » « Cependant, répondit Cyrus, il ne fallait point craindre, puisque vous êtes mon parent. » En achevant ces paroles, il s'approcha de lui et l'embrassa.

XXVIII. Le Mède lui demanda aussitôt, si parmi les Perses c'était une coutume entre les parents de s'embrasser ainsi. « Oui, répondit Cyrus, quand il y a longtemps qu'ils ne se sont vus, ou quand ils se disent adieu. » « Il faut donc, repartit le Mède, que vous m'embrassiez encore une fois, puisque je prends congé de vous. » Cyrus l'embrassa encore une fois et l'autre se retira. Ils n'avaient pas encore fait beaucoup de chemin, lorsque Cyrus voit le Mède revenir à toute bride. Il lui demanda s'il avait oublié de lui dire quelque chose. « Nullement, répondit-il; mais vous savez qu'il y a un espace de temps que je ne vous ai vu. » « Vraiment oui, mon cousin, répondit Cy-

Φάναι· μάλιστα.	*Lui* avoir dit : Assurément.
Τὸν Κῦρον εἰπεῖν·	Le Cyrus avoir dit :
Ἐνεώρας ἄρα καί μοι ταῦτα·	Donc tu regardais moi aussi pour-cela;
δοκῶ γαρ γιγνώσκειν	car je crois connaître
σὲ ποιοῦντα πολλάκις τοῦτο.	toi faisant souvent cela.
Ἔφη· βουλόμενος γὰρ ἀεὶ	Il dit : Car voulant toujours
προσελθεῖν σοι,	venir-auprès de toi,
ᾐσχυνόμην ναὶ μὰ τοὺς θεούς.	j'avais-honte, oui, par les dieux.
Τὸν Κῦρον φάναι·	Le Cyrus avoir dit :
ἀλλὰ οὐκ ἔδει,	Mais il ne fallait pas,
ὄντα γε συγγενῆ.	étant bien parent.
Προσελθόντα δὲ ἅμα	Et s'étant avancé en-même-temps
φιλῆσαι αὐτόν.	avoir embrassé lui.
XXVIII. Καὶ τὸν Μῆδον	XXVIII. Et le Mède
φιληθέντα ἐρέσθαι·	ayant été embrassé avoir demandé :
ἢ οὗτος νόμος	Est-ce que cette coutume
φιλεῖν συγγενεῖς	d'embrasser *ses* parents
ἐστὶ καὶ ἐν Πέρσαις;	est aussi parmi *les* Perses?
Φάναι· μάλιστα,	*Lui* avoir dit : Certainement,
ὅταν γε ἴδωσιν	lorsque du moins ils se voient
ἀλλήλους διὰ χρόνου,	les-uns-les-autres après du temps,
ἢ ἀπίωσί ποι	ou s'en vont quelque-part
ἀπὸ ἀλλήλων.	loin les uns des autres.
Ὁ Μῆδος ἔφη· εἴη ἂν μάλα ὥρα,	Le Mède dit : Il serait bien temps
σὲ φιλεῖν πάλιν ἐμέ·	toi embrasser de nouveau moi;
ἀπέρχομαι γὰρ ἤδη, ὡς ὁρᾷς.	car je m'en vais déjà, comme tu vois
Οὕτω τὸν Κῦρον,	Ainsi le Cyrus,
φιλήσαντα καὶ πάλιν,	ayant embrassé encore de nouveau,
ἀποπέμπειν καὶ ἀπιέναι.	*le* renvoyer et partir.
Καὶ ὁδόν τε οὔπω πολλὴν	Et un chemin pas-encore grand
διηνύσθαι αὐτοῖς,	avoir été parcouru par eux,
καὶ τὸν Μῆδον ἥκειν πάλιν	et le Mède arriver de nouveau
τῷ ἵππῳ ἱδροῦντι.	sur le cheval suant.
Καὶ τὸν Κῦρον ἰδόντα φάναι·	Et le Cyrus *l'*ayant vu avoir dit :
ἀλλὰ ἢ ἐπελάθου τι	Mais est-ce que tu as oublié quelqu'une
ὧν ἐβούλου εἰπεῖν;	des choses que tu voulais dire?
Φάναι, νὴ Δία·	*Lui* avoir dit : Par Jupiter *non*;
ἀλλὰ ἥκω διὰ χρόνου.	mais je viens après du temps.
Καὶ τὸν Κῦρον εἰπεῖν·	Et le Cyrus avoir dit :
νὴ Δία, ὦ συγγενές,	Par Jupiter, ô parent,

γενὲς, δι' ὀλίγου γε. Ποίου ὀλίγου; εἰπεῖν τὸν Μῆδον· οὐκ οἶσθα, φάναι, ὦ Κῦρε, ὅτι καὶ ὅσον σκαρδαμύττω χρόνον, πάνυ πολύς μοι δοκεῖ εἶναι, ὅτι οὐχ ὁρῶ σε τότε τοιοῦτον ὄντα; Ἐνταῦθα δὴ τὸν Κῦρον γελάσαι τε ἐκ[1] τῶν ἔμπροσθεν δακρύων, καὶ εἰπεῖν αὐτῷ ἀπιόντα θαρρεῖν, ὅτι παρέσται αὐτοῖς ὀλίγου χρόνου[2]· ὥστε ὁρᾷν σοι[3] ἐξέσται, κἂν βούλῃ, ἀσκαρδαμυκτεί.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

I. Ὁ μὲν δὴ Κῦρος οὕτως ἀπελθὼν εἰς Πέρσας, ἐνιαυτὸν μὲν λέγεται ἔτι ἐν τοῖς παιτὶ γενέσθαι. Καὶ τὸ μὲν πρῶτον οἱ παῖδες ἔσκωπτον αὐτὸν, ὡς ἡδυπαθεῖν μεμαθηκὼς ἐν Μήδοις ἥκοι. Ἐπεὶ δὲ καὶ ἐσθίοντα αὐτὸν ἑώρων, ὥσπερ καὶ αὐτοὶ[4], ἡδέως, καὶ πίνοντα, καὶ εἴ ποτ' ἂν ἑορτῇ εὐωχία γένοιτο, ἐπιδιδόντα μᾶλλον αὐτὸν τοῦ ἑαυτοῦ μέρους ἠσθάνοντο, ἢ προσδεόμενον, καὶ πρὸς τούτοις δὲ καὶ τἆλλα κρατιστεύοντα αὐτὸν ἑώρων, ἐνταῦθα δὴ

rus, mais il est bien court. » « Comment bien court! repliqua le Mède; sachez que je ne saurais même cligner les yeux qu'il ne m'ennuie de ne vous point voir. » Cyrus passant des larmes au sourire, lui dit en le quittant qu'il ne se mît point en peine; que dans peu de temps il serait de retour, et qu'alors il aurait la liberté de le voir sans cligner des yeux, s'il le trouvait bon.

CHAPITRE V.

I. Cyrus retourna donc en Perse, où il demeura encore un an dan la classe des enfants. D'abord ses compagnons se moquaient de lui et lui reprochaient d'avoir appris à vivre délicatement dans la Médie. Mais, quand ils virent qu'il trouvait leur table aussi bonne qu'auparavant, et que, si dans un festin il y avait quelque plat extraordinaire, loin de ne pas se contenter de sa portion, il la partageait avec les autres; enfin, qu'il les surpassait en adresse et en courage

διὰ ὀλίγου γε.	après un *temps* court du moins.
Ποίου ὀλίγου; τὸν Μῆδον εἰπεῖν·	Quel *temps* court? le Mède avoir dit;
ὦ Κῦρε, φάναι, οὐκ οἶσθα,	ô Cyrus, *lui* avoir dit, ne sais-tu pas
ὅτι καὶ ὅσον χρόνον	que même combien de temps
σκαρδαμύττω,	je cligne les yeux,
δοκεῖ μοι εἶναι πάνυ πολύς,	paraît à moi être tout-à-fait long,
ὅτι οὐχ ὁρῶ τότε	parce que je ne vois pas alors
σὲ ὄντα τοιοῦτον;	toi étant tel?
Τὸν δὴ Κῦρον γελάσαι τε ἐνταῦθα	Le Cyrus donc et avoir ri alors
ἐκ τῶν δακρύων ἔμπροσθεν,	après les larmes d'auparavant,
καὶ ἀπιόντα εἰπεῖν αὐτῷ	et s'en allant avoir dit à lui
θαρρεῖν,	*de* prendre courage,
ὅτι παρέσται αὐτοῖς	parce que il sera chez eux
ὀλίγου χρόνου·	dans peu de temps;
ὥστε ἐξέσται σοι	de-sorte-qu'il sera-permis à toi
ὁρᾶν, καὶ ἂν βούλῃ,	de voir *moi*, même si tu veux,
ἀσκαρδαμυκτεί.	sans-cligner-les-yeux.

ΚΕΦΑΛΑΙΟΝ Ε'. — CHAPITRE V.

I. Ὁ μὲν δὴ Κῦρος	I. Or donc le Cyrus,
ἀπελθὼν οὕτως εἰς Πέρσας,	s'en étant allé ainsi chez les Perses,
λέγεται μὲν γενέσθαι	est dit à la vérité avoir été
ἔτι ἐνιαυτὸν ἐν τοῖς παισί·	encore un an parmi les enfants;
καὶ τὸ πρῶτον μὲν οἱ παῖδες	et d'abord, il-est-vrai, les enfants
ἔσκωπτον αὐτόν,	raillaient lui,
ὡς μεμαθηκώς	comme-si ayant appris
ἡδυπαθεῖν ἐν Μήδοις	à vivre-mollement parmi *les* Mèdes,
ἥκοι.	il revenait.
Ἐπεὶ δὲ ἑώρων αὐτὸν	Mais lorsqu'ils voyaient lui
καὶ ἐσθίοντα ἡδέως,	et mangeant avec-plaisir,
ὥσπερ καὶ αὐτοί,	comme aussi eux-mêmes,
καὶ πίνοντα,	et buvant,
καὶ ᾐσθανοντο	et *lorsqu'*ils remarquaient
αὐτὸν ἐπιδιδόντα μᾶλλον	lui donnant plutôt
τοῦ μέρους ἑαυτοῦ,	de la portion de lui,
ἢ προσδεόμενον,	que demandant-en-sus,
εἰ εὐωχία γένοιτό ποτε	si un régal survenait quelquefois
ἐν ἑορτῇ,	dans une fête,
καὶ δὲ ἑώρων	et *qu'*aussi ils voyaient
πρὸς τούτοις αὐτὸν κρατιστεύοντα	outre ces choses lui l'emportant

πάλιν ὑπέπτησσον οἱ ἥλικες αὐτῶ. Ἐπεὶ δὲ διελθὼν τὴν παιδείαν τούτην, ἤδη εἰσῆλθεν εἰς τοὺς ἐφήβους, ἐν τούτοις αὖ ἐδόκει κρατιστεύειν, καὶ μελετῶν ἃ χρὴ, καὶ καρτερῶν ἃ ἔδει, καὶ αἰδούμενος τοὺς πρεσβυτέρους, καὶ πειθόμενος τοῖς ἄρχουσι.

II. Προϊόντος δὲ τοῦ χρόνου, ὁ μὲν Ἀστυάγης ἐν τοῖς Μήδοις ἀποθνήσκει· ὁ δὲ Κυαξάρης, ὁ τοῦ Ἀστυάγους παῖς, τῆς δὲ Κύρου μητρὸς ἀδελφὸς, τὴν ἀρχὴν ἔλαβε τῶν Μήδων. Ὁ δὲ τῶν Ἀσσυρίων βασιλεὺς, καταστρεψάμενος μὲν πάντας Σύρους[1], φῦλον οὐ μικρὸν, ὑπήκοον δὲ πεποιημένος τὸν Ἀραβίων[2] βασιλέα, ὑπηκόους δὲ ἔχων ἤδη καὶ Ὑρκανίους[3], πολιορκῶν δὲ καὶ Βακτρίους[4], ἐνόμιζεν, εἰ τοὺς Μήδους ἀσθενεῖς ποιήσειε, πάντων γ' ἂν τῶν πέριξ[5] ῥᾳδίως ἄρξειν· ἰσχυρότατον γὰρ τῶν ἐγγὺς φύλων τοῦτο ἐδόκει εἶναι.

III. Οὕτω δὴ διαπέμπει πρός τε τοὺς ὑφ' ἑαυτὸν πάντας, καὶ πρὸς Κροῖσον, τὸν Λυδῶν βασιλέα, καὶ πρὸς τὸν Καππαδοκῶν[6], καὶ πρὸς Φρύγας ἀμφοτέρους[7], καὶ πρὸς Κᾶρας[8], καὶ Παφλαγό-

dans tous les exercices, ils le regardèrent avec admiration. Après avoir accompli le temps ordinaire, il entra dans la classe des adolescents; là encore il fut bientôt supérieur à tous en adresse, en patience, en respect pour les vieillards et en obéissance aux magistrats.

II. Quelques années après, Astyage mourut, et Cyaxare, son fils, frère de la mère de Cyrus, lui succéda. Alors, le roi d'Assyrie, qui, après avoir subjugué toute la Syrie, pays fort considérable, après s'être rendu tributaires les peuples d'Hyrcanie, et le roi d'Arabie, faisait la guerre aux Bactriens, s'imagina que s'il pouvait affaiblir les Mèdes, les plus puissants de ses voisins, il deviendrait aisément maître de tous les autres.

III. Il envoya donc des ambassadeurs à toutes les nations qui lui étaient soumises, et en même temps à Crésus, roi de Lydie, au roi de Cappadoce, dans les deux Phrygies, en Carie, en Paphlago-

καὶ τὰ ἄλλα,
ἐνταῦθα δὴ οἱ ἥλικες
ὑπέπτησσον πάλιν αὐτῷ.
Ἐπεὶ δὲ διελθὼν
ταύτην τὴν παιδείαν,
εἰσῆλθεν ἤδη εἰς τοὺς ἐφήβους,
ἐδόκει αὖ
κρατιστεύειν ἐν τούτοις,
καὶ μελετῶν ἃ χρή,
καὶ καρτερῶν ἃ ἔδει,
καὶ αἰδούμενος τοὺς πρεσβυτέρους,
καὶ πειθόμενος τοῖς ἄρχουσι.

II. Τοῦ δὲ χρόνου προϊόντος,
ὁ μὲν Ἀστυάγης ἀποθνήσκει
ἐν τοῖς Μήδοις·
ὁ δὲ Κυαξάρης,
ὁ παῖς τοῦ Ἀστυάγους,
ἀδελφὸς δὲ τῆς μητρὸς Κύρου,
ἔλαβε τὴν ἀρχὴν τῶν Μήδων.
Ὁ δὲ βασιλεὺς τῶν Ἀσσυρίων,
καταστρεψάμενος μὲν
πάντας Σύρους, φῦλον οὐ μικρὸν,
πεποιημένος δὲ
τὸν βασιλέα Ἀραβίων ὑπήκοον,
ἔχων δὲ ἤδη
καὶ Ὑρκανίους ὑπηκόους,
πολιορκῶν δὲ καὶ Βακτρίους,
ἐνομίζεν ἄρξειν ἂν
ῥᾳδίως γε
πάντων τῶν πέριξ, εἰ ποιήσειε
τοὺς Μήδους ἀσθενεῖς·
τοῦτο γὰρ ἐδόκει εἶναι
ἰσχυρότατον τῶν φύλων ἐγγύς.

III. Οὕτω δὴ διαπέμπει
πρός τε πάντας τοὺς ὑπὸ ἑαυτὸν,
καὶ πρὸς Κροῖσον,
τὸν βασιλέα Λυδῶν,
καὶ πρὸς τὸν Καππαδοκῶν,
καὶ πρὸς Φρύγας ἀμφοτέρους
καὶ πρὸς Κᾶρας, καὶ Παφλαγόνας,

aussi pour les autres choses,
alors certes ceux de-son-âge
se-soumettaient de-nouveau à lui.
Mais après que, ayant passé
cette discipline,
il fut entré déjà parmi les adolescents,
il paraissait encore
l'emporter parmi ceux-ci,
et s'occupant de ce qu'il faut,
et supportant ce qu'il fallait,
et vénérant les plus âgés,
et obéissant aux chefs.

II. Mais le temps s'avançant,
d'un côté l'Astyage meurt
parmi les Mèdes;
de l'autre le Cyaxare,
le fils de l'Astyage,
et frère de la mère de Cyrus,
prit le gouvernement des Mèdes.
Mais le roi des Assyriens
ayant soumis d'abord
tous les Syriens, nation non petite,
puis ayant fait
le roi des Arabes obéissant,
puis ayant déjà
aussi *les* Hyrcaniens obéissants,
puis assiégeant aussi les Bactriens,
pensait pouvoir se-rendre-maître
facilement du moins
de tous ceux à l'entour, s'il avait fait
les Mèdes faibles;
car celle-ci paraissait être
la plus forte des nations de-près.

III. Ainsi donc il envoie
et à tous ceux sous lui,
et à Crésus,
le roi des Lydiens,
et à celui des Cappadociens,
et aux Phrygiens, les-uns-et-les-autres,
et aux Cariens, et *aux* Paphlagoniens,

νας[1], καὶ Ἰνδοὺς[2] δὲ, καὶ πρὸς Κίλικας[3], τὰ μὲν καὶ διαβάλλων Μήδους καὶ Πέρσας, λέγων ὡς μεγάλα τε εἴη ταῦτα ἔθνη καὶ ἰσχυρὰ, καὶ συνεστηκότα εἰς τὸ αὐτὸ, καὶ ἐπιγαμίας ἀλλήλοις πεποιημένοι εἶεν, καὶ κινδυνεύοιεν, εἰ μή τις αὐτοὺς φράσας[4] ἀσθενώσοι, ἐπὶ ἓν ἕκαστον τῶν ἐθνῶν ἰόντες καταστρέψασθαι Οἱ μὲν δὴ καὶ τοῖς λόγοις τούτοις πειθόμενοι, συμμαχίαν αὐτῷ ἐποιοῦντο· οἱ δὲ, καὶ δώροις καὶ χρήμασιν ἀναπειθόμενοι· πολλὰ γὰρ καὶ ταῦτα ἦν αὐτῷ.

IV. Κυαξάρης δὲ, ὁ τοῦ Ἀστυάγους παῖς, ἐπεὶ ᾐσθάνετο τήν τ' ἐπιβουλὴν καὶ τὴν παρασκευὴν τῶν συνισταμένων ἐφ' ἑαυτὸν, αὐτός τε εὐθέως ὅσα ἐδύνατο παρεσκευάζετο, καὶ εἰς Πέρσας δὲ ἔπεμπε πρός τε τὸ κοινὸν[5], καὶ πρὸς Καμβύσην τὸν τὴν ἀδελφὴν ἔχοντα, καὶ βασιλεύοντα ἐν Πέρσαις. Ἔπεμπε δὲ καὶ πρὸς Κῦρον, δεόμενος αὐτοῦ πειρᾶσθαι ἄρχοντα ἐλθεῖν τῶν ἀνδρῶν, εἴ τινας πέμποι στρατιώτας τὸ Περσῶν κοινόν. Ἤδη γὰρ καὶ ὁ

nie, aux Indes, en Cilicie, pour semer partout des calomnies contre les Mèdes et les Perses. Il fit représenter que ces deux grands peuples ayant depuis peu contracté entre eux des mariages et de nouvelles alliances, il était à craindre, si l'on ne s'opposait au progrès de leur puissance, qu'ils n'assujettissent à la fin toutes les autres nations. Ces considérations engagèrent plusieurs peuples à se liguer avec lui; d'autres se laissèrent gagner par les présents et par l'argent que ses grandes richesses lui permettaient de répandre avec profusion.

IV. Cyaxare ayant reçu la nouvelle de ces intrigues et de ces préparatifs, s'empressa de son côté à repousser les attaques des ennemis ligués contre lui. Il envoya des ambassadeurs à la république des Perses, et à leur roi Cambyse, son beau-frère, avec ordre exprès de voir Cyrus et de l'engager à demander le commandement de l'armée, s'il en venait une à son secours. Cyrus était alors dans la classe des hommes

καὶ δὲ Ἰνδοὺς,
καὶ πρὸς Κίλικας,
τὰ μὲν διαβάλλων
καὶ Μήδους καὶ Πέρσας,
λέγων ὡς ταῦτα ἔθνη
εἴη μεγάλα τε καὶ ἰσχυρὰ,
καὶ συνεστηκότα εἰς τὸ αὐτὸ,
καὶ εἶεν πεποιημένοι
ἐπιγαμίας ἀλλήλοις,
καὶ κινδυνεύοιεν ἰόντες
ἐπὶ ἓν ἕκαστον τῶν ἐθνῶν
καταστρέψασθαι,
εἴ τις φθάσας
μὴ ἀσθενώσοι αὐτούς.
Οἱ μὲν δὴ πειθόμενοι καὶ
τούτοις τοῖς λόγοις,
ἐποιοῦντο συμμαχίαν αὐτῷ·
οἱ δὲ ἀναπειθόμενοι
καὶ δώροις
καὶ χρήμασι·
ταῦτα γὰρ ἦν καὶ
πολλὰ αὐτῷ.

IV. Κυαξάρης δὲ,
ὁ παῖς τοῦ Ἀστυάγους,
ἐπεὶ ᾔσθάνετο
τήν τε ἐπιβουλὴν
καὶ τὴν παρασκευὴν
τῶν συνισταμένων ἐπὶ ἑαυτὸν,
αὐτός τε παρεσκευάζετο εὐθέως
ὅσα ἐδύνατο,
ἔπεμπε δὲ καὶ εἰς Πέρσας,
πρός τε τὸ κοινὸν,
καὶ πρὸς Καμβύσην
τὸν ἔχοντα τὴν ἀδελφὴν,
καὶ βασιλεύοντα ἐν Πέρσαις.
Ἔπεμπε δὲ καὶ πρὸς Κῦρον,
δεομένος αὐτοῦ πειρᾶσθαι
ἐνθεῖν ἄρχοντα τῶν ἀνδρῶν,
εἴ τι τὸ κοινὸν Περσῶν
πέμποι τινὰς στρατιώτας.

et de plus *aux* Indiens,
et aux Ciliciens,
en cela à la vérité calomniant
et *les* Mèdes et *les* Perses,
disant que ces nations
étaient et grandes et puissantes,
et réunies dans la même (en une seule)
et étaient ayant fait
des mariages entre eux,
et étaient-sur-le-point allant
vers une chacune des nations
de les subjuguer,
si quelqu'un ayant prévenu
n'affaiblissait pas eux.
Les uns donc persuadés aussi
par ces discours,
faisaient alliance avec lui;
les autres gagnés
et par des présents
et par de l'argent;
car ces choses étaient aussi
copieuses à lui.

IV. Mais Cyaxare,
le fils de l'Astyage,
après qu'il eut appris
et la conspiration
et le préparatif
de ceux alliés contre lui,
et lui-même prépara aussitôt
tout ce qu'il put,
et envoya aussi chez *les* Perses,
et à la république,
et à Cambyse,
celui ayant *sa* sœur,
et régnant parmi *les* Perses.
Et il envoya aussi à Cyrus,
priant lui *de* tâcher
de venir, chef des hommes,
si la république des Perses
envoyait quelques soldats.

Κῦρος, διατετελεκὼς τὰ ἐν τοῖς ἐφήβοις δέκα ἔτη, ἐν τοῖς τελείοις ἀνδράσιν ἦν.

V. Οὕτω δὴ δεξαμένου τοῦ Κύρου, οἱ βουλεύοντες γεραίτεροι αἱροῦνται αὐτὸν ἄρχοντα τῆς εἰς Μήδους στρατείας. Ἔδοσαν δὲ αὐτῷ διακοσίους τῶν ὁμοτίμων[1] προσελέσθαι· τῶν δ' αὖ διακοσίων ἑκάστῳ τέτταρας ἔδωκαν προσελέσθαι, καὶ τούτους ἐκ τῶν ὁμοτίμων· γίγνονται μὲν δὴ οὗτοι χίλιοι· τῶν δ' αὖ χιλίων τούτων ἔταξαν ἑκάστῳ ἐκ τοῦ δήμου τῶν Περσῶν δέκα μὲν πελταστὰς προσελέσθαι, δέκα δὲ σφενδονήτας, δέκα δὲ τοξότας. Καὶ οὕτως ἐγένοντο μύριοι μὲν τοξόται, μύριοι δὲ πελτασταὶ, μύριοι δὲ σφενδονῆται· χωρὶς δὲ τούτων οἱ χίλιοι ὑπῆρχον.

VI. Τοσαύτη μὲν δὴ στρατία τῷ Κύρῳ ἐδόθη. Ἐπειδὴ δὲ ᾑρέθη τάχιστα, ἤρξατο μὲν πρῶτον ἀπὸ τῶν θεῶν· καλλιερησάμενος δὲ, τότε προσηρεῖτο τοὺς διακοσίους. Ἐπεὶ δὲ προσείλοντο καὶ οὗτοι δὴ τοὺς τέσσαρας ἕκαστοι, συνέλεξεν αὐτοὺς, καὶ εἶπε τότε πρῶτον ἐν αὐτοῖς τάδε.

VII. « Ἄνδρες φίλοι, ἐγὼ προσειλόμην μὲν ὑμᾶς, οὐ νῦν

faits, après avoir passé les dix années parmi les jeunes gens.

V. Il accepta cette proposition, et les sénateurs le mirent à la tête des troupes qui devaient aller en Médie. Ils lui donnèrent la faculté de choisir deux cents homotimes, et permirent à chacun de ceux-ci d'en prendre quatre autres du même rang; ils étaient donc tous ensemble au nombre de mille. Chacun d'eux eut la liberté de lever parmi le peuple dix hommes armés à la légère, dix frondeurs et dix archers. Ainsi toute l'armée devait être composée de dix mille archers, dix mille peltastes, dix mille frondeurs, sans comprendre les mille homotimes.

VI. Telle était l'armée confiée à Cyrus. Dès qu'il eut été élu, il commença par consulter les dieux, et après avoir eu les sacrifices favorables, il choisit les deux cents homotimes qui à leur tour en choisirent d'autres. Puis Cyrus les assembla tous, et leur tint ce discours :

VII. « Mes amis, ce n'est point pour vous avoir connus depuis peu que

Ὁ γὰρ Κῦρος, διατετελεκὼς
τὰ δέκα ἔτη ἐν τοῖς ἐφήβοις,
ἦν καὶ ἤδη
ἐν τοῖς ἀνδράσι τελείοις.

V. Οὕτω δὴ τοῦ Κύρου δεξαμένου,
οἱ γεραίτεροι βουλεύοντες
αἱροῦνται αὐτὸν ἄρχοντα
τῆς στρατείας εἰς Μήδους.
Ἔδοσαν δὲ αὐτῷ προσελέσθαι
διακοσίους τῶν ὁμοτίμων·
ἔδωκαν δὲ ἑκάστῳ
τῶν διακοσίων
προσελέσθαι αὖ τέτταρας,
καὶ τούτους ἐκ τῶν ὁμοτίμων·
οὗτοι μὲν δὴ γίγνονται χίλιοι·
ἔταξαν δὲ
ἑκάστῳ τούτων τῶν χιλίων
προσελέσθαι αὖ
ἐκ τοῦ δήμου τῶν Περσῶν
δέκα μὲν πελταστάς,
δέκα δὲ σφενδονήτας,
δέκα δὲ τοξότας.
Καὶ οὕτως ἐγένοντο
μύριοι μὲν τοξόται,
μύριοι δὲ πελτασταί,
μύριοι δὲ σφενδονῆται·
οἱ δὲ χίλιοι ὑπῆρχον χωρὶς τούτων.

VI. Τοσαυτὴ μὲν δὴ στρατιὰ
ἐδόθη τῷ Κύρῳ.
Ἐπειδὴ δὲ τάχιστα ἡρέθη,
ἤρξατο μὲν πρῶτον ἀπὸ τῶν θεῶν·
καλλιερησάμενος δὲ,
προσῃρεῖτο τοτε τοὺς διακοσίους.
Ἐπεὶ δὲ οὗτοι ἕκαστοι
προσείλοντο καὶ δὴ τοὺς τέσσαρας,
συνέλεξεν αὐτούς,
καὶ εἶπε τοτε πρῶτον
τάδε ἐν αὐτοῖς.

VII. « Ἄνδρες φίλοι,
ἐγὼ προσειλομην μὲν ὑμᾶς,

Car le Cyrus, ayant parachevé
les dix ans parmi les adolescents,
était aussi déjà
parmi les hommes faits.

V. Ainsi donc le Cyrus ayant accepté
les vieillards délibérant
élisent lui chef
de l armée *à envoyer* chez *les* Mèdes.
Et ils accordèrent à lui de choisir
deux-cents des pairs;
et accordèrent à chacun
des deux-cents
de choisir à leur tour quatre,
encore ceux-ci des pairs;
or donc ceux-ci deviennent mille;
et ils ordonnèrent
à chacun de ces mille
de choisir à leur tour
du peuple des Perses
d'abord dix peltastes,
puis dix frondeurs,
puis dix archers.
Et ainsi ils devinrent
d'abord dix-mille archers,
puis dix-mille peltastes,
puis dix-mille frondeurs;
mais les mille étaient sans ceux-ci.

VI. Or donc une telle armée
fut donnée au Cyrus.
Et aussitôt qu'il fut élu,
il commença d'abord par les dieux;
et ayant fait un sacrifice favorable,
il choisit alors les deux-cents.
Et après que ceux-ci chacuns
eurent choisi aussi déja les quatre,
il assembla eux,
et dit alors pour-la-première-fois
ces *paroles* parmi eux.

VII. « Hommes amis,
j'ai choisi à la vérité vous,

« πρῶτον δοκιμάσας, ἀλλ' ἐκ παίδων ὁρῶν ὑμᾶς, ἃ μὲν καλὰ ἡ
« πόλις νομίζει, προθύμως ταῦτα ἐκπονοῦντας· ἃ δὲ αἰσχρὰ
« ἡγεῖται εἶναι, παντελῶς τούτων ἀπεχομένους. Ὧν δ' ἕνεκα
« αὐτός τε οὐκ ἄκων εἰς τόδε τὸ τέλος κατέστην, καὶ ὑμᾶς παρ-
« εκάλεσα[1], δηλῶσαι ὑμῖν βούλομαι.

VIII. « Ἐγὼ γὰρ κατενόησα ὅτι οἱ πρόγονοι χείρους μὲν ἡμῶν
« οὐδὲν ἐγένοντο· ἀσκοῦντες γοῦν κἀκεῖνοι διετέλεσαν ἅπερ ἔργα
« ἀρετῆς νομίζεται. Ὅ τι μέντοι προσεκτήσαντο τοιοῦτοι ὄντες,
« ἢ τῷ τῶν Περσῶν κοινῷ ἀγαθὸν, ἢ αὐτοῖς, τοῦτο οὐκέτι δύ-
« ναμαι κατιδεῖν. Καίτοι ἔγωγε οἶμαι οὐδεμίαν ἀρετὴν ἀσκεῖ-
« σθαι ὑπ' ἀνθρώπων, ὡς μηδὲν πλέον ἔχωσιν οἱ ἐσθλοὶ γενό-
« μενοι, τῶν πονηρῶν.

IX. « Ἀλλ' οἵ τε τῶν παραυτίκα ἡδονῶν[2] ἀπεχόμενοι, οὐχ ἵνα
« μηδέποτε εὐφρανθῶσι, τοῦτο πράττουσιν, ἀλλ' ὅπως, διὰ ταύ-
« την τὴν ἐγκράτειαν πολλαπλάσια εἰς τὸν ἔπειτα χρόνον εὐ
« φραίνωνται, οὕτω παρασκευάζονται· οἵ τε λέγειν προθυμού-

j'ai jeté les yeux sur vous, c'est pour vous avoir vus rechercher, dès votre enfance, la vertu, et fuir la honte, avec un égal empressement. Je vais vous expliquer par quels motifs je me suis chargé de ce commandement, et pourquoi je vous ai invités à me prêter votre appui.

VIII. « J'ai pensé que nos ancêtres nous valaient bien, puisqu'ils ont toujours fait profession de la vertu. Cependant je n'ai point encore pu reconnaître en quoi leurs travaux ont profité, soit à la grandeur de l'État, soit à leur fortune particulière. Je ne crois pas toutefois que les hommes cultivent les vertus pour n'en tirer aucun avantage.

IX. « Ceux qui se privent des plaisirs présents, ne le font pas dans le dessein de n'en goûter jamais aucun; c'est, au contraire, afin de se ménager pour l'avenir une volupté plus durable par une tempérance de peu de durée. Ceux qui s'étudient à l'éloquence n'ont pas pour

οὐ δοκιμάσας νῦν
πρῶτον,
ἀλλὰ ὁρῶν ὑμᾶς ἐκ παίδων,
ἐκπονοῦντας μὲν προθύμως
ταῦτα ἃ ἡ πολις
νομίζει καλὰ·
ἀπεχομένους δὲ
παντελῶς τούτων
ἃ ἡγεῖται εἶναι αἰσχρά.
Βούλομαι δὲ δηλῶσαι ὑμῖν,
ἕνεκα ὧν αὐτός τε
οὐκ ἄκων
κατέστην εἰς τόδε τὸ τέλος,
καὶ παρεκάλεσα ὑμᾶς.

VIII. « Ἐγὼ γὰρ κατενόησα
ὅτι οἱ πρόγονοι μὲν
ἐγένοντο οὐδὲν χείρους ἡμῶν·
καὶ ἐκεῖνοι γοῦν διετέλεσαν
ἀσκοῦντες ἅπερ νομίζεται
ἔργα ἀρετῆς.
Ὅ τι μέντοι ἀγαθὸν
ὄντες τοιοῦτοι προσεκτήσαντο
ἢ τῷ κοινῷ τῶν Περσῶν,
ἢ αὑτοῖς,
δύναμαι οὐκέτι κατιδεῖν τοῦτο.
Καίτοι ἔγωγε οἶμαι
οὐδεμίαν ἀρετὴν ἀσκεῖσθαι
ὑπὸ ἀνθρώπων,
ὡς οἱ γενόμενοι ἐσθλοὶ
ἔχωσι μηδὲν πλέον τῶν πονηρῶν.

IX « Ἀλλὰ οἵ τε ἀπεχόμενοι
τῶν ἡδονῶν παραυτίκα,
οὐ πράττουσι τοῦτο,
ἵνα εὐφραν θῶσι μηδέποτε,
ἀλλὰ ὅπως εὐφραίνωνται
πολλαπλάσια
εἰς τὸν χρόνον ἔπειτα
διὰ ταύτην τὴν ἐγκράτειαν·
οἵ τε προθυμούμενοι
γενέσθαι δεινοὶ λέγειν,

n'ayant pas éprouvé à-présent
pour-la-première-fois, [*tiez* enfants,
mais voyant vous depuis *que vous é-*
exécutant d'un côté avec-zèle
ces choses que la république
croit belles;
de l'autre vous-abstenant
tout-à-fait de celles
qu'elle pense être honteuses.
Mais je veux montrer à vous,
pourquoi et moi-même,
non sans-vouloir,
je me suis établi à cet emploi,
et j'ai appelé vous.

VIII. « Car j'ai compris
que les ancêtres à la vérité
ne furent en-rien pires que nous;
eux aussi donc furent toujours
exerçant *les œuvres* qui sont crues
œuvres de vertu.
Cependant quel bien,
étant tels, ils procurèrent
ou à la république des Perses,
ou à eux-mêmes,
je ne puis plus voir cela.
Pourtant moi-de-ma-part je pense
aucune vertu être exercée
par des hommes,
pour que les devenus bons
*n'*aient rien de plus que les méchants.

IX. « Mais et ceux s'abstenant
des plaisirs d'à-présent,
ne font pas cela,
afin qu'ils ne jouissent jamais,
mais afin qu'ils jouissent
de *jouissances* multiples
dans le temps d'ensuite
par cette tempérance;
et ceux désirant
devenir habiles à parler,

« μενοι δεινοὶ γενέσθαι, οὐχ, ἵνα εὖ λέγοντες μηδέποτε
« παύσωνται, τοῦτο μελετῶσιν, ἀλλ' ἐλπίζοντες τῷ λέγειν εὖ
« πείθοντες πολλοὺς ἀνθρώπους, πολλὰ καὶ μεγάλα ἀγαθὰ δια-
« πράξεσθαι· οἵ τε αὖ τὰ πολεμικὰ ἀσκοῦντες, οὐχ ὡς μαχό-
« μενοι μηδέποτε παύσωνται, τοῦτ' ἐκπονοῦσιν, ἀλλὰ νομίζοντες
« καὶ οὗτοι, τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι, πολὺν μὲν ὄλβον,
« πολλὴν δὲ εὐδαιμονίαν, μεγάλας δὲ τιμὰς καὶ αὑτοῖς καὶ τῇ
« πόλει περιάψειν.

X. « Εἰ δέ τινες ταῦτα ἐκπονήσαντες, πρίν τινα καρπὸν ἀπ'
« αὐτῶν κομίσασθαι, περιεῖδον αὑτοὺς γήρᾳ ἀδυνάτους γενομέ-
« νους, ὅμοιον ἔμοιγε δοκοῦσι πεπονθέναι[1], οἷον εἴ τις, γεωργὸς
« ἀγαθὸς προθυμηθεὶς γενέσθαι, καὶ εὖ σπείρων, καὶ εὖ φυτεύων,
« ὁπότε αὐτὸν καρποῦσθαι ταῦτα δέοι, ἐῴη τὸν καρπὸν ἀσυγκό-
« μιστον εἰς τὴν γῆν πάλιν καταῤῥεῖν. Καὶ εἴ τις γε ἀσκητὴς[2]
« πολλὰ πονήσας, καὶ ἀξιόνικος γενόμενος, ἀναγώνιστος διατε-

but de bien parler sans cesse en public ; ils espèrent faire un jour de grandes choses par le talent de persuader. Ceux qui se livrent aux exercices militaires ne se proposent pas de passer leur vie à combattre ; mais il regardent la gloire, la fortune, le bonheur qu'ils peuvent s'acquérir à eux-mêmes et à leur patrie par leurs talents militaires.

X. « Que si quelque-uns, après avoir beaucoup travaillé, se sont laissé accabler par la vieillesse, avant de jouir du fruit de leurs sueurs, je les comparerais à un laboureur qui ferait tous ses efforts pour bien semer et bien planter, et lorsque la saison de la moisson serait venue, laisserait tomber ses grains à terre, au lieu de les recueillir. De même un athlète que beaucoup d'exercices pénibles auraient rendu capable de vaincre, et qui se tiendrait

οὐ μελετῶσι τοῦτο,
ἵνα παύσωνται μηδέποτε
λέγοντες εὖ,
ἀλλὰ ἐλπίζοντες διαπράξεσθαι
ἀγαθὰ πολλὰ καὶ μεγάλα,
πείθοντες πολλοὺς ἀνθρώπους
τῷ λέγειν εὖ
οἵ τε αὖ ἀσκοῦντες
τὰ πολεμικά,
οὐκ ἐκπονοῦσι τοῦτο,
ὡς παύσωνται μηδέποτε
μαχόμενοι,
ἀλλὰ καὶ οὗτοι νομίζοντες,
γενόμενοι ἀγαθοὶ
τὰ πολεμικά,
περιάψειν
πολὺν μὲν ὄλβον,
πολλὴν δὲ εὐδαιμονίαν,
μεγάλας δὲ τιμὰς
καὶ αὐτοῖς καὶ τῇ πόλει.

X « Εἰ δέ τινες
ἐκπονήσαντες ταῦτα,
περιεῖδον αὐτοὺς
γενομένους ἀδυνάτους γήρᾳ,
πρὶν κομίσασθαί
τινα καρπὸν ἀπὸ αὐτῶν,
δοκοῦσιν ἐμοιγε
πεπονθέναι ὅμοιον,
οἷον εἴ τις προθυμηθεὶς
γενέσθαι γεωργὸς ἀγαθὸς,
καὶ σπείρων εὖ,
καὶ φυτεύων εὖ,
ἐᾷη τὸν καρπὸν ἀσυγκόμιστον
καταῤῥεῖν πάλιν εἰς τὴν γῆν,
ὁπότε δέοι
αὐτὸν καρποῦσθαι ταῦτα.
Καὶ εἴ τίς γε ἀσκητὴς
πονήσας πολλὰ
καὶ γενόμενος ἀξιόνικος,
διατελέσειεν ἀναγώνιστος,

n'exercent pas cela,
afin qu'ils ne cessent jamais
parlant bien,
mais espérant devoir exécuter
des biens nombreux et grands,
persuadant beaucoup d'hommes
par le parler bien;
et ceux d'un-autre-côté exerçant
les choses guerrières
ne travaillent pas à cela,
afin qu'ils ne cessent jamais
combattant;
mais aussi ceux-ci pensant,
devenus bons
pour les choses guerrières,
devoir acquérir
d'abord beaucoup de fortune,
puis beaucoup de bonheur,
puis de grands honneurs,
et à eux-mêmes et à l'état.

X. « Mais si quelques-uns
ayant travaillé à ces choses,
ont vu eux-mêmes
devenus impuissants de vieillesse
avant d'avoir recueilli
quelque fruit d'elles,
ils paraissent à moi-du-moins
avoir éprouvé la-même-chose,
que si quelqu'un s'étant appliqué
à devenir cultivateur distingué,
et semant bien,
et plantant bien,
laissait le fruit non-recueilli
tomber derechef sur la terre,
lorsqu'il faudrait
lui recueillir ces choses.
Et si quelque athlète,
s'étant fatigué beaucoup,
et devenu digne-de-la-victoire,
restait-toujours ne-combattant-pas,

« λέσειεν, οὐδ' ἂν οὗτος ἔμοιγε δοκεῖ δικαίως ἀναίτιος εἶναι
« ἀφροσύνης.

XI. « Ἀλλ' ἡμεῖς, ὦ ἄνδρες, μὴ πάθωμεν ταῦτα· ἀλλ' ἐπεί-
« περ σύνισμεν ἡμῖν αὐτοῖς ἀπὸ παίδων ἀρξάμενοι ἀσκηταὶ
« ὄντες τῶν καλῶν κἀγαθῶν ἔργων, ἴωμεν ἐπὶ τοὺς πολεμίους,
« οὓς ἐγὼ σαφῶς ἐπίσταμαι, αὐτὸς ἰδὼν, ἰδιώτας ὄντας ὡς
« πρὸς[1] ἡμᾶς ἀγωνίζεσθαι. Οὐ γάρ πω οὗτοι ἱκανοί εἰσιν ἀγωνι-
« σταὶ, οἳ ἂν τοξεύωσιν, ἢ ἀκοντίζωσιν, ἢ ἱππεύωσιν ἐπιστη-
« μόνως, ἢν δέ που πονῆσαι δέῃ, τούτῳ λείπωνται· ἀλλ' οὗτοι
« ἰδιῶταί εἰσι κατὰ τοὺς πόνους· οὐδέ γε οἵτινες, ἀγρυπνῆσαι
« δέον[2], ἡττῶνται τούτου· ἀλλὰ καὶ οὗτοι ἰδιῶταί εἰσι κατὰ τὸν
« ὕπνον· οὐδέ γε οἱ ταῦτα μὲν ἱκανοὶ, ἀπαίδευτοι δὲ ὡς χρὴ καὶ
« συμμάχοις καὶ πολεμίοις χρῆσθαι· ἀλλὰ καὶ οὗτοι δῆλον ὅτι
« τῶν μεγίστων παιδευμάτων ἀπείρως ἔχουσιν.

tonjours dans l'inaction, me semble mériter d'être accusé de folie.

XI. « Prenons donc garde, mes amis, qu'il ne nous arrive quelque chose de semblable; et puisque nous avons été élevés pour les grandes actions, allons courageusement attaquer les ennemis. Je les ai vus et je les connais assez pour vous dire qu'ils ne sont point en état de vous résister. Car ce n'est pas tout que de bien manier l'arc et le javelot, ou d'être adroit à monter à cheval, si l'on est, comme eux, absolument incapable de supporter la fatigue, ou si, comme eux encore, lorsque les veilles sont nécessaires, on ne peut résister au sommeil, ou si l'on ne sait se conduire soit avec les amis, soit avec les ennemis; et il est évident qu'ils ignorent cette science, l'une des plus importantes.

οὗτος οὐδὲ δοκεῖ	celui-ci ne paraît pas même
ἐμοιγε	à moi du moins
εἶναι ἂν ἀναίτιος δικαίως	pouvoir être exempt justement
ἀφροσύνης.	de folie.
XI. « Ἀλλὰ ἡμεῖς	XI. « Mais nous,
μὴ πάθωμεν ταῦτα,	que nous n'éprouvions pas cela,
ὦ ἄνδρες·	ô hommes ;
ἀλλά,	mais,
πείπερ σύνισμεν ἡμῖν αὐτοῖς,	puisque nous savons-avec nous-mêmes (avons conscience)
ἀρξάμενοι ἀπὸ παίδων	ayant (d'avoir) commencé dès *que*
ὄντες ἀσκηταὶ	étant pratiquant [*nous étions* en-
τῶν ἔργων καλῶν καὶ ἀγαθῶν,	les actions belles et bonnes, [fants
ἴωμεν ἐπὶ τοὺς πολεμίους,	allons contre les ennemis,
οὓς ἐγώ, αὐτὸς ἰδών,	que moi, moi-même ayant vus,
ἐπίσταμαι σαφῶς ὄντας ἰδιώτας	sais clairement étant novices
ὡς ἀγωνίζεσθαι πρὸς ἡμᾶς.	pour combattre contre nous.
Οὗτοι γὰρ οὐκ εἰσί πω	Car ceux-là ne sont pas encore
ἀγωνισταὶ ἱκανοί,	des combattants capables,
οἱ τοξεύωσιν ἂν,	qui tireraient de l'arc
ἢ ἀκοντίζωσιν,	ou lanceraient le javelot,
ἢ ἱππεύωσιν ἐπιστημόνως,	ou monteraient-à-cheval habilement,
ἢν δὲ δέῃ	mais s'il fallait
πονῆσαί που,	se-fatiguer quelque-part,
λείπωνται τούτῳ·	faibliraient en-cela ;
ἀλλὰ οὗτοί εἰσιν	mais ceux-là sont
ἰδιῶται κατὰ τοὺς πόνους·	novices dans les fatigues ;
οὐδέ γε οἵτινες,	ni certes *ceux* qui,
δέον ἀγρυπνῆσαι,	étant nécessaire de veiller,
ἡττῶνται τούτου·	sont-au-dessous de cela ;
ἀλλὰ καὶ οὗτοι	mais encore ceux-là
εἰσὶν ἰδιῶται κατὰ τὸν ὕπνον·	sont novices pour le sommeil ;
οὐδέ γε οἱ ἱκανοὶ μὲν	ni certes ceux capables à la vérité
ταῦτα,	de ces choses,
ἀπαίδευτοι δὲ	mais non instruits
ὡς χρὴ χρῆσθαι	comment il faut en-user
καὶ συμμάχοις	et avec des alliés,
καὶ πολεμίοις·	et avec des ennemis ;
ἀλλὰ δῆλον ὅτι καὶ οὗτοι	mais *il est* évident qu'aussi ceux-là
ἔχουσιν ἀπείρως	se-trouvent sans-connaissance
τῶν παιδευμάτων μεγίστων.	des leçons les plus grandes.

XII. « Ὑμεῖς δὲ νυκτὶ μὲν δήπου, ὅσαπερ[1] οἱ ἄλλοι ἡμέρᾳ,
« δύναισθ' ἂν χρῆσθαι· πόνους δὲ τοῦ ζῆν ἡδέως ἡγεμόνας νο-
« μίζετε· λιμῷ δὲ ὅσαπερ ὄψῳ διαχρῆσθε· ὑδροποσίαν δὲ ῥᾷον
« τῶν λεόντων φέρετε. Κάλλιστον δὲ πάντων καὶ πολεμικώτατον
« κτῆμα εἰς τὰς ψυχὰς συγκεκόμισθε· ἐπαινούμενοι γὰρ μᾶλλον
« ἢ τοῖς ἄλλοις ἅπασι χαίρετε· τοὺς δ' ἐπαίνους ἐραστὰς ἀνάγκη
« κτᾶσθαι τὰ αἴτια[2], καὶ διὰ τοῦτο πάντα μὲν πόνον, πάντα δὲ
« κίνδυνον ἡδέως ὑποδύεσθαι.

XIII. « Εἰ δὲ ταῦτα ἐγὼ λέγω περὶ ὑμῶν, ἄλλως γιγνώσκων,
« ἐμαυτὸν ἐξαπατῶ. Ὅ τι γὰρ μὴ τοιοῦτον ἀποβήσεται παρ'
« ὑμῶν, εἰς ἐμὲ τὸ ἐλλεῖπον[3] ἥξει. Ἀλλὰ πιστεύω τοι τῇ πείρᾳ
« τῇ ἡμετέρᾳ, καὶ τῇ ὑμῶν εἰς ἐμὲ εὐνοίᾳ, καὶ τῇ τῶν πολε-
« μίων ἀνοίᾳ, μὴ ψεύσειν με ταύτας τὰς ἀγαθὰς ἐλπίδας. Ἀλλὰ
« θαρροῦντες ὁρμώμεθα[4], ἐπειδὴ καὶ ἐκποδὼν ἡμῖν γεγένηται τὸ
« δόξαι τῶν ἀλλοτρίων ἀδίκως ἐφίεσθαι. Νῦν γὰρ ἔρχονται μὲν

XII. « Quant à vous, la nuit et le jour vous sont indifférents pour le travail; vous regardez la fatigue comme la route qui conduit aux jouissances de la vie; la faim vous sert d'assaisonnement; vous buvez l'eau avec plus de plaisir que les lions; enfin, vous avez l'âme pleine de cette belle passion qui fait les grands guerriers, je veux dire l'amour de la gloire; car vous êtes par-dessus tout sensibles aux louanges; et quand on a le cœur fait de la sorte, on doit s'exposer courageusement à toutes les peines et à tous les dangers, pour acquérir la renommée après laquelle on soupire.

XIII. « Au reste, si je n'étais bien assuré de ce que j'ai dit de vous, je me nuirais à moi-même. Car, si jamais vos actions venaient à me démentir, ce serait sur moi seul qu'en retomberait tout le blâme. Mais la longue expérience que j'ai faite de votre vertu, votre affection pour moi, l'ignorance de nos ennemis, tout m'inspire la confiance que mon espoir ne sera point trompé. Que pouvons-nous craindre dans

XII. «Ὑμεῖς δὲ δύναισθ' ἂν δήπου
χρῆσθαι μὲν νυκτὶ,
ὅσαπερ οἱ ἄλλοι ἡμέρᾳ·
νομίζετε δὲ πόνους
ἡγεμόνας τοῦ ζῆν ἡδέως·
διαχρῆσθε δὲ λιμῷ
ὅσαπερ ὄψῳ·
φέρετε δὲ
ῥᾷον τῶν λεόντων
ὑδροποσίαν.
Συγκεκόμισθε δὲ κτῆμα
κάλλιστον
καὶ πολεμικώτατον πάντων
εἰς τὰς ψυχάς·
ἐπαινούμενοι γὰρ χαίρετε
μᾶλλον ἢ ἅπασι τοῖς ἄλλοις·
ἀνάγκη δὲ
τοὺς ἐραστὰς ἐπαίνου
κτᾶσθα. τὰ αἴτια,
καὶ ὑποδύεσθαι ἡδέως
πάντα μὲν πόνον,
πάντα δὲ κίνδυνον διὰ τοῦτο.

XII. « Mais vous pourriez certes
vous-servir à la vérité de la nuit,
comme les autres du jour;
et vous croyez les fatigues
guides du vivre agréablement;
et vous usez de la faim
comme d'un assaisonnement;
et vous supportez
plus facilement que les lions
la boisson de l'eau.
Et vous avez recueilli un bien,
le plus beau
et le plus guerrier de tous,
dans les âmes;
car étant loués vous vous-réjouissez
plus que de toutes les autres choses;
mais nécessité *est*
les amateurs de louange
en acquérir les causes,
et supporter avec-plaisir
d'abord toute fatigue,
puis tout danger pour cela.

XIII. Εἰ δὲ ἐγὼ,
γιγνώσκων ἄλλως,
λέγω ταῦτα περὶ ὑμῶν,
ἐξαπατῶ ἐμαυτόν.
Ὅ τι γὰρ μὴ ἀποβήσεται
τοιοῦτον παρὰ ὑμῶν,
τὸ ἐλλεῖπον ἥξει εἰς ἐμέ.
Ἀλλὰ πιστεύω τοι
τῇ πείρᾳ τῇ ἡμετέρᾳ,
καὶ τῇ εὐνοίᾳ ὑμῶν εἰς ἐμὲ,
καὶ τῇ ἀνοίᾳ τῶν πολεμίων,
ταύτας τὰς ἐλπίδας ἀγαθὰς
μὴ ψεύσειν με.
Ἀλλὰ θαῤῥοῦντες ὁρμώμεθα,
ἐπειδὴ καὶ τὸ δόξαι
ἐφίεσθαι ἀδίκως
τῶν ἀλλοτρίων
γεγένηται ἐκποδὼν ἡμῖν.

XIII. « Mais si moi,
sachant autrement,
je dis ces choses sur vous,
je trompe moi-même.
Car ce qui ne résultera pas
tel de vous,
le manque viendra sur moi.
Mais je me fie certes
à l'expérience la nôtre,
et à l'affection de vous pour moi,
et à l'ignorance des ennemis,
ces espérances bonnes
ne pas devoir tromper moi.
Mais ayant-courage marchons,
puisque même le paraître
convoiter injustement
les biens-d'autrui
est devenu loin de nous.

« οἱ πολέμιοι, ἄρχοντες ἀδίκων χειρῶν· καλοῦσι δὲ ἡμᾶς ἐπι-
« κούρους οἱ φίλοι. Τί οὖν ἐστιν ἢ τοῦ ἀλέξασθαι δικαιότερον, ἢ
« τοῦ τοῖς φίλοις ἀρήγειν κάλλιον;

XIV. « Ἀλλὰ μὴν καὶ ἐκεῖνο[1] οἴομαι ὑμᾶς οὐχ ἥκιστα θαῤῥεῖν,
« τὸ μὴ παρημεληκότα με τῶν θεῶν τὴν ἔξοδον ποιεῖσθαι.
« Πολλὰ[2] γάρ μοι συνόντες, ἐπίστασθε οὐ μόνον τὰ μεγάλα,
« ἀλλὰ καὶ τὰ μικρὰ πειρώμενον, ἀπὸ θεῶν ὁρμᾶσθαι ἀεί. Τέλος,
« ἔφη, τί δεῖ λέγειν ἔτι; ἀλλ' ὑμεῖς μὲν, τοὺς ἄνδρας ἑλόμενοι
« καὶ ἀναλαβόντες, καὶ τἆλλα παρασκευασάμενοι, ἴτε εἰς Μή-
« δους. Ἐγὼ δ' ἐπανελθὼν πρὸς τὸν πατέρα, πρόειμι[3] δὴ, ὅπως
« τὰ τῶν πολεμίων ὡς τάχιστα μαθὼν, οἷά ἐστι, παρασκευάσω
« ὑμῖν ὅ τι ἂν δύνωμαι, ὅπως ὡς κάλλιστα, σὺν θεῷ, ἀγωνιζώ-
δοκεῖ γὰρ μέλειν σοι τούτου, car il paraît-bon soin-être à toi de cela
τοῦ τὸ στράτευμα l'armée
μὴ κάμνειν ἀρχήν. ne pas être malade du-tout.
Ἔφη· ὦ πάτερ, καὶ ἐγὼ Il dit : O père, et moi
ἰών τινα ὅδον δὴ allant quel chemin donc
ἔσομαι ἱκανὸς πράττειν τοῦτο; serai-je capable *de* faire cela?
Ἂν μὲν μέλλῃς δήπου D'abord lorsque tu dois certes
μένειν τινὰ χρόνον rester quelque temps
ἐν τῷ αὐτῷ, dans le même *endroit,*
δεῖ πρῶτον il faut premièrement
μὴ ἀμελῆσαι ne pas être insouciant
στρατοπέδου ὑγιεινοῦ· d'un campement salubre;
οὐ δὲ ἁμάρτοις ἂν τούτου, mais tu ne manquerais pas de cela,
ἐάν περ μέλῃ σοι. si toutefois il importe à toi.
Καὶ γὰρ οἱ ἄνθρωποι Car les hommes
παύονται οὐδὲν λέγοντες ne cessent point parlant
περί τε τῶν χωρίων νοσηρῶν au sujet et des endroits malsains
καὶ τῶν ὑγιεινῶν· et des salubres;
τὰ δέ τε σώματα καὶ τὰ χρώματα de plus et les corps et les couleurs
παρίστανται μάρτυρες σαφεῖς se présentent témoins manifestes
ἑκατέροις αὐτῶν. pour les-uns-ou-les-autres d'eux.
Ἔπειτα δὲ, οὐκ ἀρκέσει Mais ensuite, il ne suffira pas
σκέψασθαι μόνον τὰ χωρία, *de* considérer seulement les localités,
ἀλλὰ μνησθῆναι mais *il faut* te souvenir
πῶς σὺ πειρᾷ comment toi tu tâches
ἐπιμελεῖσθαι σεαυτοῦ, *d'*avoir-soin de toi-même,
ὅπως ὑγιαίνῃς. afin que tu te portes-bien.

XVII. Καὶ ὁ Κῦρος εἶπε· νὴ Δία, XVII. Et le Cyrus dit : Par Jupiter,
πρῶτον μεν πειρῶμαι d'abord à la vérité je tâche
μηδέποτε ὑπερεμπίπλασθαι· *de* ne jamais me-trop-remplir;
δύσφορον γάρ· car *cela est* difficile-à-soutenir;
ἔπειτα δὲ ἐκπονῶ ensuite je travaille-bien
τα εἰσιόντα· les *mets* entrant;
οὕτω γὰρ ἥ τε ὑγίεια δοκεῖ μοι car ainsi et la santé paraît à moi
παραμένειν μᾶλλον se conserver davantage,

καὶ ἰσχὺς προσγίνεσθαι. Οὕτω τοίνυν δεῖ, ἔφη, ὦ παῖ, καὶ τῶν ἄλλων ἐπιμελεῖσθαι. Ἦ καὶ σχολὴ, ἔφη, ἔσται, ὦ πάτερ, σωμασκεῖν τοῖς στρατιώταις; Οὐ μὰ Δί', ἔφη ὁ πατὴρ, οὐ μόνον γε, ἀλλὰ καὶ ἀνάγκη. Δεῖ γὰρ δήπου στρατιὰν, εἰ μέλλει[1] πράξειν τὰ δέοντα, μηδέποτε παύεσθαι, ἢ τοῖς πολεμίοις κακὰ πορσύνουσαν, ἢ ἑαυτῇ ἀγαθά. Ὡς χαλεπὸν μὲν καὶ ἕνα ἄνθρωπον ἀργὸν τρέφεσθαι, πολὺ δ' ἔτι, ὦ παῖ, χαλεπώτερον, οἶκον ὅλον, πάντων δὲ χαλεπώτατον στρατιὰν ἀργὸν τρέφειν. Πλεῖστα γὰρ τὰ ἐσθίοντα ἐν στρατιᾷ, καὶ ἀπ' ἐλαχίστων ὁρμώμενα, καὶ οἷς ἂν λάβῃ δαψιλέστατα χρώμενα· ὥστε οὐδέποτε προσήκει στρατιὰν ἀργεῖν.

XVIII. Λέγεις σὺ, ἔφη, ὦ πάτερ, ὡς ἐμοὶ δοκεῖ, ὅτι[2], ὥσπερ οὐδὲ γεωργοῦ ἀργοῦ οὐδὲν ὄφελος, οὕτως οὐδὲ στρατηγοῦ ἀργοῦ οὐδὲν ὄφελος εἶναι. Τὸν δέ γε ἐργάτην στρατηγὸν ἐγὼ, ἔφη, ἀναδέχομαι (ἢν μή τις θεὸς βλάπτῃ) ἅμα καὶ τὰ ἐπιτήδεια μά-

position du corps. » « Vous faites bien, dit Cambyse, mais vous devez avoir le même soin de vos soldats. » « Cependant, dit Cyrus, auront-ils le temps de faire des exercices ? » « Il faudra bien, repartit Cambyse, trouver le temps pour une occupation absolument nécessaire. Car une armée qu'on veut maintenir dans ses devoirs ne doit jamais cesser de faire du mal à ses ennemis, ou du bien à elle-même : et s'il est difficile de nourrir un homme oisif, il l'est beaucoup plus de nourrir une famille oisive, et plus encore une armée. Car il y a dans une armée un nombre infini de bouches à qui il faut de quoi vivre, qui n'ont rien la plupart du temps, et qui ne savent pas épargner ce qu'elles ont ; aussi ne faut-il jamais laisser une armée dans l'oisiveté. »

XVIII. « C'est-à-dire, reprit Cyrus, que l'oisiveté ne vaut pas mieux dans un général que dans un laboureur. Mais je ne crains pas d'affirmer qu'un général actif saura, avec l'aide des dieux, entretenir

καὶ ἰσχὺς προσγίνεσθαι. et la force s'ajouter.
Ἔφη· ὦ παῖ, δεῖ τοίνυν Il dit : O fils, il faut donc
ἐπιμελεῖσθαι οὕτω καὶ τῶν ἄλλων. prendre-soin ainsi aussi des autres.
Ἔφη· ὦ πάτερ, Il dit : O père,
ἢ σχολὴ ἔσται καὶ est-ce que loisir sera aussi
τοῖς στρατιώταις σωμασκεῖν; aux soldats d'exercer-le-corps?
Οὐ μὰ Δία, ὁ πατὴρ ἔφη, Non, par Jupiter, le père dit,
οὐ μόνον γε, non-seulement certes,
ἀλλὰ καὶ ἀνάγκη. mais encore nécessité.
Δεῖ γὰρ δήπου στρατιὰν Car il faut en-effet une armée
μηδέποτε παύεσθαι πορσύνουσαν ne jamais cesser procurant
ἢ κακὰ τοῖς πολεμίοις, soit des maux aux ennemis,
ἢ ἀγαθὰ ἑαυτῇ, soit des biens à elle-même,
εἰ μέλλει πράξειν τὰ δέοντα. si elle doit faire les devoirs.
Ὡς χαλεπὸν μὲν Car *il est* difficile à la vérité
καὶ ἕνα ἄνθρωπον ἀργὸν même un seul homme oisif
τρέφεσθαι, ὦ παῖ, être nourri, ô fils,
ἔτι δὲ πολὺ χαλεπώτερον, mais encore bien plus difficile,
οἶκον ὅλον, une maison entière,
χαλεπώτατον δὲ mais la plus difficile
πάντων de toutes les choses
τρέφειν στρατιὰν ἀργόν. *est de* nourrir une armée oisive.
Τὰ γὰρ ἐσθίοντα Car les *bouches* mangeant *sont*
πλεῖστα ἐν στρατιᾷ, très-nombreuses dans une armée,
καὶ ὁρμώμενα et commençant
ἀπὸ ἐλαχίστων, de très-petites choses,
καὶ χρώμενα δαψιλέστατα et se servant très-abondamment
οἷς ἂν λάβῃ· des choses qu'elles auraient reçues
ὥστε προσήκει οὐδέποτε de-sorte-qu'il ne convient jamais
στρατιὰν ἀργεῖν. une armée être-oisive.

XVIII. Σὺ λέγεις, ἔφη, ὦ πάτερ, XVIII. Tu dis, dit-il, ô père,
ὡς δοκεῖ ἐμοί, comme il paraît à moi,
ὅτι, ὥσπερ οὐδὲν ὄφελος que, comme aucune utilité *n'est*
οὐδὲ γεωργοῦ ἀργοῦ, non plus d'un laboureur oisif,
οὕτως οὐδὲν ὄφελος εἶναι ainsi aucune utilité être
οὐδὲ στρατηγοῦ ἀργοῦ. non plus d'un général oisif.
Ἐγὼ δέ γε ἀναδέχομαι, ἔφη Mais certes, moi j'affirme, dit-il
(ἤν τις θεὸς μὴ βλάπτῃ), (si quelque dieu ne nuit),
τὸν στρατηγὸν ἐργάτην le général actif
ὅμα καὶ ἀποδείξειν en-même-temps et devoir montrer

λιστα ἔχοντας τοὺς στρατιώτας ἀποδείξειν, καὶ τὰ σώματα ἄριστα ἔχοντας παρασκευάσειν Ἀλλὰ μέντοι τό γε μελετᾶσθαι[1], ἔφη, ἕκαστα τῶν πολεμικῶν ἔργων, ἀγῶνας ἄν τινάς μοι δοκεῖ[2], ὦ πάτερ, προειπὼν ἑκάστοις, καὶ ἆθλα προτιθεὶς, μάλιστα ἂν ποιεῖν εὖ ἀσκεῖσθαι, ὥστε ἕκαστα, ὁπότε δέοιτο[3], ἔχειν ἂν παρεσκευασμένοις χρῆσθαι. Κάλλιστα λέγεις, ἔφη, ὦ παῖ. Τοῦτο γὰρ ποιήσας, σάφ' ἴσθι, ὥσπερ χοροὺς, τὰς τάξεις ἀεὶ τὰ προσήκοντα μελετώσας θεάσῃ.

XIX. Ἀλλὰ μὴν, ἔφη ὁ Κῦρος, εἴ γε τὸ προθυμίαν ἐμβαλεῖν στρατιώταις οὐδέν μοι δοκεῖ ἱκανώτερον εἶναι, ἢ τὸ δύνασθαι ἐλπίδας ἀγαθὰς ἐμποιεῖν ἀνθρώποις. Ἀλλ', ἔφη, ὦ παῖ, τοῦτό γε τοιοῦτόν ἐστιν, οἷόν περ εἴ τις κύνας ἐν θήρᾳ ἀνακαλοῖτο ἀεὶ τῇ κλήσει, ἧπερ ὅταν τὸ θηρίον ὁρᾷ. Τὸ μὲν γὰρ πρῶτον προθύμως εὖ οἶδ' ὅτι ἔχει ὑπακουούσας· ἢν δὲ πολλάκις ψεύδηται

l'abondance et la santé dans son armée. Quant aux manœuvres militaires, je pense qu'il sera bon, pour avoir dans l'occasion des soldats bien exercés, d'établir des jeux et de proposer des prix pour les vainqueurs. » « Si vous faites ce que vous dites, repartit Cambyse, vous verrez que vos troupes seront aussi bien dressées que des chœurs de danseurs. »

XIX. « Je vous dirai encore, reprit Cyrus, que, pour encourager les soldats, je ne trouve rien de plus efficace que de les remplir de belles espérances. » « Je l'avoue, repartit Cambyse : toutefois il faut prendre garde qu'il en est de cela comme de la chasse; si vous appelez les chiens à faux, d'abord vous les voyez s'élancer avec une ardeur admirable; mais si vous les avez trompés plusieurs fois de la sorte ils

τοὺς στρατιώτας ἔχοντας μάλιστα — les soldats ayant grandement
τὰ ἐπιτήδεια, — les choses nécessaires,
καὶ παρασκευάσειν — et *les* devoir disposer
ἔχοντας ἄριστα τὰ σώματα. — se-portant au mieux quant aux corps
Ἀλλὰ μέντοι γε — Mais cependant certes
τὸ ἕκαστα — *touchant* ceci, chacuns
τῶν ἔργων πολεμικῶν — des travaux militaires
μελετᾶσθαι, — être exercés,
ἔφη, δοκεῖ ἄν μοι, ὦ πάτερ, — dit-il, il paraîtrait à moi, ô père,
προειπὼν — ayant prescrit
τινὰς ἀγῶνας ἑκάστοις — certaines luttes à chacuns
καὶ προτιθεὶς ἆθλα, — et proposant des prix,
ποιεῖν ἂν μάλιστα — *les* pouvoir faire surtout
ἀσκεῖσθαι εὖ, — s'exercer bien,
ὥστε ἔχειν ἂν χρῆσθαι — afin d'avoir à se-servir
παρεσκευασμένοις ἕκαστα, — d'*eux* préparés *pour* chaque chose,
ὁπότε δέοιτο. — lorsqu'il *en* aurait besoin.
Λέγεις κάλλιστα, ἔφη, ὦ παῖ· — Tu parles très-bien, dit-il, ô fils;
ποιήσας γὰρ τοῦτο, — car ayant fait cela,
ἴσθι σάφα, — sache bien,
θεάσῃ τὰς τάξεις — tu verras les troupes
μελετώσας ἀεὶ — exécutant-avec-soin toujours
τὰ προσήκοντα, — les-choses-convenables,
ὥσπερ χορούς. — comme des-chœurs-de-danse.

XIX. Ὁ Κῦρος ἔφη· — XIX. Le Cyrus dit :
Ἀλλὰ μὴν οὐδὲν δοκεῖ μοι — Mais certes rien ne paraît à moi
εἶναι ἱκανώτερον — être plus propre
εἴ γε τὸ ἐμβαλεῖν — du moins pour inspirer
προθυμίαν στρατιώταις, — du courage aux soldats,
ἢ τὸ δύνασθαι ἐμποιεῖν — que de pouvoir faire-naître
ἀγαθὰς ἐλπίδας ἀνθρώποις. — de bonnes espérances aux homme s
Ἔφη· ὦ παῖ, ἀλλά γε τοῦτό — Il dit : O fils, mais certes cela
ἐστι τοιοῦτον, οἷόν περ εἴ τις — est tel, que si quelqu'un
ἀνακαλοῖτο ἀεὶ κύνας — appelait toujours les chiens
ἐν θήρᾳ τῇ κλήσει, — à la chasse du cri,
ᾗπερ, ὅταν ὁρᾷ τὸ θηρίον. — duquel *il appelle*, lorsqu'il voit l
Οἶδα γὰρ εὖ — Car je sais bien [bête.
ὅτι ἔχει τὸ μὲν πρῶτον — qu'il *les* a d'abord à la vérite
ὑπακουούσας προθύμως· — obéissant avec-empressement,
ἢν δὲ ψεύδηται πολλάκις αὐτάς, — mais s'il trompe souvent eux

αὐτὰς, τελευτῶσαι [1], οὐδ' ὁπόταν ἀληθῶς ὁρῶν καλῇ, πείθονται αὐτῷ. Οὕτω καὶ τὸ περὶ τῶν ἐλπίδων ἔχει· ἢν πολλάκις προσδοκίας ἀγαθῶν ἐμβαλὼν ψεύδηταί τις, τελευτῶν, οὐδ ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ ὁ τοιοῦτος, πείθειν δύναται. Ἀλλὰ τοῦ μὲν αὐτὸν λέγειν, ἃ μὴ σαφῶς εἰδείη, φείδεσθαι [2] δεῖ, ὦ παῖ· ἄλλοι δ' ἐνίοτε λέγοντες ταὐτὸ διαπράττοιεν ἄν· τὴν δὲ αὐτοῦ παρακέλευσιν εἰς τοὺς μεγίστους κινδύνους δεῖ ὡς μάλιστα ἐν πίστει διασώζειν. Ἀλλὰ, ναὶ μὰ τὸν Δία, ἔφη ὁ Κῦρος, ὦ πάτερ, καὶ καλῶς μοι δοκεῖς λέγειν, καὶ ἐμοὶ οὕτως ἥδιον.

XX. Τό γε μὴν πειθομένους παρέχεσθαι τοὺς στρατιώτας, οὐκ ἀπείρως μοι δοκῶ αὐτοῦ ἔχειν, ὦ πάτερ. Σύ τε γάρ με εὐθὺς τοῦτο ἐκ παιδίου ἐπαίδευες, σαυτῷ πείθεσθαι ἀναγκάζων· ἔπειτα τοῖς διδασκάλοις παρέδωκας, καὶ ἐκεῖνοι αὖ ταὐτὸ τοῦτο ἔπραττον. Ἐπεὶ δ' ἐν τοῖς ἐφήβοις ἦμεν, ὁ ἄρχων τοῦ αὐτοῦ τούτου ἰσχυρῶς ἐπεμελεῖτο· καὶ οἱ νόμοι δὲ οἱ πολλοὶ [3] δοκοῦσί

n'obéissent plus, quand vous découvrez véritablement le gibier. Ainsi, celui qui a coutume de donner de fausses espérances, finit par ne plus persuader, lors même qu'il en donne de véritables. Il faut donc user de retenue, et ne point avancer les choses dont on n'est pas assuré, quoiqu'une conduite opposée ait quelquefois réussi. Mais il faut prendre garde surtout à ne point faire perdre aux paroles qu'on emploie ordinairement dans les grands dangers la confiance dont elles ont besoin. » « Mon père, répondit Cyrus, vos conseils me paraissent fort sages, et je les pratiquerai volontiers.»

XX. « Quant aux moyens dont il faut se servir pour être obéi de ses soldats, je crois ne pas les ignorer. Car, dans mon enfance, vous m'avez appris à vous obéir; vous m'avez mis ensuite entre les mains de maîtres qui me donnaient les mêmes leçons, puis encore, lorsque j'ai été parmi les jeunes gens, notre gouverneur prenait grand soin de nous former à l'obéissance; au reste, la plupart de nos lois ne m'ont

τελευτῶσαι πείθονται αὐτῷ	finissant ils n'obéissent à lui
οὐδὲ ὁπόταν	pas même lorsque
ὁρῶν ἀληθῶς καλῇ.	voyant véritablement, il appelle.
Τὸ περὶ τῶν ἐλπίδων	La chose à l'égard des espérances
ἔχει καὶ οὕτως·	se-trouve aussi ainsi ;
ἤν τις ἐμβαλὼν πολλάκις	si quelqu'un ayant inspiré souvent
προσδοκίας ἀγαθῶν ψεύδηται,	des attentes de biens, ment,
τελευτῶν ὁ τοιοῦτος δύναται πείθειν	finissant l'*homme* tel ne peut persuader
οὐδὲ ὁπόταν λέγῃ	pas même lorsqu'il dit
ἐλπίδας ἀληθεῖς.	des espèrances vraies.
Ἄλλα δεῖ μὲν φείδεσθαι	mais il *lui* faut à la vérité s'abstenir
τοῦ αὐτὸν λέγειν	de ceci, lui dire (qu'il dise) *des choses*
ἃ εἰδείη μὴ σαφῶς, ὦ παῖ·	qu'il ne saurait pas exactement, ô fils;
ἄλλοι δὲ	cependant d'autres,
λέγοντες ἐνίοτε	*en* disant quelquefois,
διαπράττοιεν ἂν τὸ αὐτό·	obtiendraient le même *résultat* ;
δεῖ δὲ διασώζειν	mais il faut conserver
ὡς μάλιστα ἐν πίστει	le plus possible en crédit
τὴν παρακέλευσιν αὐτοῦ	l'encouragement de lui
εἰς τοὺς μεγίστους κινδύνους.	pour les plus grands dangers.
Ὁ Κῦρος ἔφη·	Le Cyrus dit :
ὦ πάτερ, ναὶ μὰ τὸν Δία,	O père, oui, par le Jupiter ;
ἀλλὰ καὶ δοκεῖς μοι λέγειν καλῶς,	mais et tu parais à moi dire bien,
καὶ ἥδιον οὕτως ἐμοί.	et *cela est* plus agréable ainsi à moi
XX. Ὁ πάτερ	XX. O père,
τὸ μήν γε παρέχεσθαι	mais du moins *pour* se rendre
τοὺς στρατιώτας πειθομένους,	les soldats obéissants,
οὐ δοκῶ μοι	je ne parais pas à moi
ἐχειν ἀπείρως αὐτοῦ.	me-trouver sans-expérience de cela.
Σύ τε γὰρ ἐπαίδευές με τοῦτο	Car et toi tu instruisais moi *sur* cela
εὐθὺς ἐκ παιδίου,	aussitôt dès *que je fus* enfant,
ἀναγκάζων πείθεσθαι σαυτῷ·	en forçant *à* obéir à toi ;
ἔπειτα παρέδωκας	ensuite tu *me* livras
τοῖς διδασκάλοις,	aux instituteurs,
καὶ ἐκεῖνοι αὖ	et ceux-ci à-leur-tour
ἔπραττον τοῦτο τὸ αὐτό.	faisaient cette même chose.
Ἐπεὶ δὲ ἥμεν	Et dès que nous fûmes
ἐν τοῖς ἐφήβοις,	parmi les adolescents,
ὁ ἄρχων ἐπεμελεῖτο ἰσχυρῶς	le chef s'occupait fortement
τούτου τοῦ αὐτοῦ·	de cette même chose,

μοι δύο ταῦτα μάλιστα διδάσκειν, ἄρχειν τε καὶ ἄρχεσθαι. Καὶ τοίνυν κατανοῶν περὶ τούτων, ἐν ἅπασιν δρᾷν μοι δοκῶ τὸ προτρέπον πείθεσθαι μάλιστα ὄν, τὸ τὸν μὲν πειθόμενον ἐπαινεῖν τε καὶ τιμᾷν, τὸν δὲ ἀπειθοῦντα ἀτιμάζειν τε καὶ κολάζειν.

XXI. Καὶ ἐπὶ μέν γε τὸ ἀνάγκῃ ἕπεσθαι, ἔφη, αὕτη, ὦ παῖ, ἡ ὁδός ἐστιν· ἐπὶ δὲ τὸ πολὺ κρεῖττον τούτου, τὸ ἑκόντας[1] πείθεσθαι, ἄλλη συντομωτέρα ὁδός ἐστιν. Ὃν γὰρ ἂν ἡγήσωνται περὶ τοῦ συμφέροντος ἑαυτοῖς φρονιμώτερον ἑαυτῶν εἶναι, τούτῳ οἱ ἄνθρωποι ὑπερηδέως πείθονται. Γνοίης δ' ἂν ὅτι τοῦθ' οὕτως ἔχει, ἐν ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ ἐν τοῖς κάμνουσιν, ὡς προθύμως τοὺς ἐπιτάξοντας ὅ τι χρὴ ποιεῖν καλοῦσι· καὶ ἐν θαλάττῃ δὲ, ὡς προθύμως τοῖς κυβερνήταις οἱ συμπλέοντες πείθονται· καὶ οὕς γ' ἂν νομίζωσί τινες βέλτιον ἑαυτῶν ὁδοὺς εἰδέναι, ὡς ἰσχυρῶς τούτων οὐδ' ἀπολείπεσθαι θέλουσιν· ὅταν δὲ

pas semblé enseigner autre chose que de commander et d'obéir. En réfléchissant bien sur cette matière, j'estime qu'il n'y a pas de meilleur moyen, pour assurer la soumission de ses sujets, que de louer et de récompenser ceux qui obéissent, de punir et de noter d'infamie ceux qui sont rebelles. »

XXI. « Sans doute, répondit Cambyse, pour se faire obéir par force : mais pour se faire obéir volontairement, ce qui vaut bien mieux, il y a un autre moyen plus simple. Tous les hommes obéissent volontiers à celui qu'ils croient savoir mieux qu'eux-mêmes ce qui leur est utile. Cela se remarque dans mille circonstances, par exemple chez les malades, qui s'empressent d'appeler les médecins pour se faire indiquer les remèdes nécessaires. Par la même raison, tous ceux qui sont dans un vaisseau obéissent au pilote, et généralement dans tous les voyages, chacun se laisse conduire par celui qui sait le mieux le chemin. Au con-

καὶ δὲ οἱ νόμοι
οἱ πολλοὶ
δοκοῦσί μοι διδάσκειν
μάλιστα ταῦτα δύο,
ἄρχειν τε καὶ ἄρχεσθαι.
Καὶ τοίνυν κατανοῶν περὶ τούτων,
δοκῶ μοι ὁρᾷν
τὸ προτρεπον πείθεσθαι
ὃν μάλιστα ἐν ἅπασι,
τὸ μὲν ἐπαινεῖν τε καὶ τιμᾷν
τὸν πειθόμενον,
ἀτιμάζειν δέ τε καὶ κολάζειν
τὸν ἀπειθοῦντα.

XXI. Ἔφη· καὶ αὕτη μέν
ἐστί γε ἡ ὁδὸς
ἐπὶ τὸ ἕπεσθαι ἀνάγκῃ, ὦ παῖ·
ἄλλη δὲ ὁδὸς συντομωτέρα ἐστὶ
ἐπὶ τὸ πολὺ κρεῖττον τούτου,
τὸ πείθεσθαι ἑκόντας.
Οἱ γὰρ ἄνθρωποι
πείθονται ὑπερηδέως τούτῳ,
ὃν ἡγήσωνται ἂν εἶναι
φρονιμώτερον ἑαυτῶν
περὶ τοῦ συμφέροντος
ἑαυτοῖς.
Γνοίης δὲ ἂν
ὅτι τοῦτο ἔχει οὕτως,
ἔν τε πολλοῖς ἄλλοις,
καὶ δὴ καὶ ἐν τοῖς κάμνουσιν,
ὡς καλοῦσι προθύμως
τοὺς ἐπιτάξοντας
ὅ τι χρὴ ποιεῖν·
καὶ δὲ ἐν θαλάττῃ,
ὡς οἱ συμπλέοντες
πείθονται προθύμως
τοῖς κυβερνήταις·
καὶ ὡς τινες θέλουσιν ἰσχυρῶς·
οὐδὲ ἀπολείπεσθαι τούτων
οὓς γε νομίζωσιν ἂν εἰδέναι
βέλτιον ἑαυτῶν ὁδούς·

mais aussi les lois
les plus nombreuses
paraissent à moi enseigner
principalement ces deux choses,
et commander et être commandé.
Et ainsi réfléchissant sur ces choses
je semble à moi voir
la chose engageant à obéir,
étant surtout parmi tous
d'un côté le et louer et honorer
l'obéissant,
de l'autre et humilier et punir
le n'obéissant pas.

XXI. Il dit : Et celle-là à la vérité
est du-moins la route
vers le suivre de force, ô fils ;
mais une autre route plus courte est
vers le beaucoup mieux que cela,
les hommes obéir *le* voulant (de plein [gré).
Car les hommes
obéissent très-volontiers à celui
qu'ils auront cru être
plus habile qu'eux-mêmes
dans la chose avantageuse
à eux-mêmes.
Et tu comprendrais
que cela se-comporte ainsi,
et dans beaucoup d'autres,
et certes aussi dans les malades,
combien ils appellent volontiers
les devant prescrire
ce qu'il faut faire ;
et aussi sur la mer,
combien les naviguant-ensemble
obéissent volontiers
aux pilotes ; [tement
et combien quelques-uns veulent for
ne pas même rester-en-arrière de ceu
que certes ils croiraient connaître
mieux qu'eux-mêmes les chemins ;

οἴωνται πειθόμενοι κακόν τι λήψεσθαι, οὔτε ζημίαις πανυ τι θέλουσιν εἴκειν, οὔτε δώροις ἐπαίρεσθαι. Οὐδὲ γὰρ τὰ δῶρα ἐπὶ τῷ ἑαυτοῦ κακῷ ἑκὼν οὐδεὶς λαμβάνει.

XXII. Λέγεις σὺ, ἔφη, ὦ πάτερ, εἰς τὸ πειθομένους ἔχειν οὐδὲν εἶναι ἀνυσιμώτερον τοῦ φρονιμώτερον δοκεῖν εἶναι τῶν ἀρχομένων. Λέγω γὰρ οὖν, ἔφη. Καὶ πῶς δή τις, ὦ πάτερ, τοιαύτην δόξαν περὶ αὑτοῦ τάχιστα παρασχέσθαι ἂν δύναιτο; Οὐκ ἔστιν, ἔφη, ὦ παῖ, συντομωτέρα ὁδὸς, περὶ ὧν ἂν βούλῃ δοκεῖν φρόνιμος εἶναι, ἢ τὸ γενέσθαι περὶ τούτων φρόνιμον. Καθ' ἓν δὲ ἕκαστον περὶ τούτων σκοπῶν, γνωσῃ ὅτι ἐγὼ ἀληθῆ λέγω. Ἢν γὰρ βούλῃ, μὴ ὢν ἀγαθὸς γεωργὸς, δοκεῖν εἶναι ἀγαθὸς, ἢ ἱππεὺς, ἢ ἰατρὸς, ἢ αὐλητὴς, ἢ ἄλλ' ὁτιοῦν, ἐννόει, πόσα γε ἂν δέοι σε μηχανᾶσθαι, τοῦ δοκεῖν ἕνεκα. Καὶ εἰ δὴ πείσαις

traire, quand les hommes croient que l'obéissance peut leur être nuisible, ni la crainte des punitions, ni l'espoir des récompenses ne peut les y porter; car quelle récompense pourrait engager un homme à se perdre? »

XXII. « A ce compte, répondit Cyrus, il n'y a rien de meilleur pour se faire obéir, que de paraître à ses sujets plus prudent qu'eux.» «C'est mon avis, » dit Cambyse. « Mais par quel moyen, répliqua Cyrus, peut-on donner cette opinion de soi-même? » « Le moyen le plus simple de paraître versé dans un art quelconque, répondit Cambyse, c'est de l'être en effet; si vous voulez parcourir toutes les conditions, vous trouverez que je dis la vérité. Car si vous vouliez paraître bon jardinier, ou bon cavalier, ou bon médecin, ou bon musicien, ou quelque autre chose de semblable, sans être tel, voyez combien il vous faudrait employer d'artifices pour vous établir dans cette réputation: et si vous gagniez quelques personnes pour parler de vous avantageuse-

ὅταν δὲ οἴωνται
πειθόμενοι
λήψεσθαί τι κακὸν,
θέλουσι πάνυ τι
οὔτε εἴκειν ζημίαις,
οὔτε ἐπαίρεσθαι δώροις.
Οὐδεὶς γὰρ ἑκὼν
λαμβάνει οὐδὲ τὰ δῶρα
ἐπὶ τῷ κακῷ ἑαυτοῦ.

XXII. Ἔφη·
ὦ πάτερ, σὺ λέγεις
οὐδὲν εἶναι ἀνυσιμώτερον
εἰς τὸ ἔχειν πειθομένους
τοῦ δοκεῖν εἶναι
φρονιμώτερον τῶν ἀρχομένων.
Λέγω γὰρ οὖν, ἔφη.
Ὦ πάτερ, καὶ πῶς δή
τις δύναιτο ἂν
παρασχέσθαι τάχιστα
τοιαύτην δόξαν περὶ αὑτοῦ;
Ἔφη· ὦ παῖ,
ὁδὸς συντομωτέρα οὐκ ἔστιν,
ἢ τὸ γενέσθαι φρόνιμον
περὶ τούτων,
περὶ ὧν βούλῃ ἂν
δοκεῖν εἶναι φρόνιμος.
Σκοπῶν δὲ περὶ τούτων
κατὰ ἓν ἕκαστον,
γνώσῃ
ὅτι ἐγὼ λέγω ἀληθῆ.
Ἢν γὰρ,
μὴ ὢν ἀγαθὸς γεωργὸς,
βούλῃ δοκεῖν εἶναι ἀγαθὸς,
ἢ ἱππεὺς, ἢ ἰατρὸς,
ἢ αὐλητὴς,
ἢ ἄλλο ὁτιοῦν,
ἐννόει, πόσα γε ἂν δέοι
σὲ μηχανᾶσθαι,
ἕνεκα τοῦ δοκεῖν.
Καὶ εἰ δή τε πείσαις

mais lorsqu'ils pensent
en obéissant
devoir recevoir quelque mal,
ils ne veulent absolument en rien
ni céder à des châtiments,
ni être excités par des présents.
Car personne voulant
n'accepte même les présents
pour le mal de lui-même.

XXII. Il dit :
O père, tu dis
rien n'être plus efficace
pour avoir *les hommes* obéissants
que de paraître être
plus habile que les gouvernés.
Et effet, je dis donc *cela*, dit-il.
O père, et comment donc
quelqu'un pourrait-il
acquérir au plus vite
une telle réputation de lui-même?
Il dit : O fils,
un chemin plus court n'existe pas,
que le devenir habile
dans ces choses
dans lesquelles tu voudrais
paraître être habile.
Et considérant sur ces choses
quant à une chacune,
tu reconnaîtras
que je dis des choses vraies.
Car si,
n'étant pas bon agriculteur,
tu veux paraître être un bon,
ou cavalier, ou médecin,
ou joueur de flûte,
ou autre chose quelconque,
pense combien certes il faudrait
toi machiner,
à cause du paraître.
Et si même et tu persuadais

ἐπαινεῖν τέ σε πολλοὺς, ὅπως δόξαν λάβοις, καὶ κατασκευὰς καλὰς ἐφ' ἑκάστῳ αὐτῶν κτήσαιο, ἄρτι τε ἐξηπατηκὼς εἴης ἂν, καὶ ὀλίγῳ ὕστερον, ὅπου ἂν πεῖραν δοίης, ἐξεληλεγμένος τ' ἂν εἴης, καὶ προσέτι ἀλαζὼν φαίνοιο.

XXIII. Φρόνιμος δὲ περὶ τοῦ συνοίσειν μέλλοντος πῶς ἄν τις τῷ ὄντι[1] γένοιτο; Δῆλον, ἔφη, ὦ παῖ, ὅτι, ὅσα μὲν ἔστι μαθόντα εἰδέναι, μαθὼν ἂν[2], ὥσπερ τὰ τακτικὰ ἔμαθες· ὅσα δὲ ἀνθρώποις οὔτε μαθητὰ, οὔτε προορατὰ ἀνθρωπίνῃ προνοίᾳ, διὰ μαντικῆς ἂν παρὰ θεῶν πυνθανόμενος, φρονιμώτερος ἄλλων ἂν εἴης· ὅ τι δὲ γνοίης βέλτιον ὂν πραχθῆναι, ἐπιμελούμενος ἂν τούτου, ὡς ἂν πραχθείη. Καὶ γὰρ τὸ ἐπιμελεῖσθαι οὗ ἂν δέῃ, φρονιμωτέρου ἀνδρὸς, ἢ τὸ ἀμελεῖν.

XXIV. Ἀλλὰ μέντοι ἐπὶ τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων (ὅπερ

ment, si vous achetiez les plus beaux instruments nécessaires à votre profession, vous pourriez d'abord tromper le monde, mais bientôt après, quand il faudrait mettre la main à l'œuvre, vous découvririez votre ignorance, et votre vanité tout ensemble. »

XXIII. « Mais comment peut-on devenir véritablement habile dans un art quelconque?—Si les choses que vous voulez savoir peuvent être enseignées, mon fils, il vous faudra les apprendre, comme vous avez appris la tactique. Si au contraire ce que vous désirez connaître dépasse les bornes de l'intelligence humaine; c'est en consultant les dieux par le moyen de la divination, que vous devez vous en instruire. Enfin, quand vous aurez remarqué qu'il est bon de faire quelque chose, il faudra vous y appliquer soigneusement; car jamais l'homme prudent ne néglige rien de ce qu'il juge nécessaire. »

XXIV. « Au reste, pour se faire aimer de ses sujets, ce qui est une

πολλοὺς ἐπαινεῖν σε,
ὅπως λάβοις δόξαν,
καὶ κτήσαιο
κατασκευὰς καλὰς
ἐπὶ ἑκάστῳ αὐτῶν,
ἂν εἴης τε ἐξηπατηκὼς ἄρτι,
καὶ ὀλίγῳ ὕστερον,
ἂν εἴης τε ἐξεληλεγμένος,
καὶ φαίνοιο προσέτι ἀλαζὼν,
ὅπου ἂν δοίης πεῖραν.

XXIII. Πῶς δέ τις
γένοιτο ἂν
φρόνιμος τῷ ὄντι
περὶ τοῦ μέλλοντος συνοίσειν;
Δῆλον, ἔφη, ὦ παῖ,
ὅτι μαθὼν ἄν,
ὅσα μὲν ἔστι
μαθόντα εἰδέναι,
ὥσπερ ἔμαθες τὰ τακτικά·
πυνθανόμενος δὲ ἂν παρὰ θεῶν
διὰ μαντικῆς,
ὅσα
οὔτε μαθητὰ ἀνθρώποις,
οὔτε προορατὰ
προνοίᾳ ἀνθρωπίνῃ,
εἴης ἂν φρονιμώτερος ἄλλων·
ἐπιμελούμενος δὲ ἄν
τούτου ὅ τι γνοίης
ὂν βέλτιον πραχθῆναι,
ὡς ἂν πραχθείη·
καὶ γὰρ τὸ ἐπιμελεῖσθαι
οὗ ἂν δέῃ,
ἀνδρὸς φρονιμωτέρου,
ἢ τὸ ἀμελεῖν.

XXIV. Ἀλλὰ μέντοι δηλονότι
ἡ αὐτὴ ὁδὸς,
ἥπερ εἴ τις ἐπιθυμοίη
στέργεσθαι ὑπὸ τῶν φίλων,
ἐπὶ τὸ φιλεῖσθαι
ὑπὸ τῶν ἀρχομένων

a plusieurs *de* louer toi,
afin que tu acquisses de la réputation,
et *si* tu possédais
des instruments beaux
pour chacune de ces choses,
et tu serais ayant trompé déjà,
et peu après,
et tu serais découvert,
et tu paraîtrais en-outre vain,
dès que tu donnerais une épreuve.

XXIII. Mais comment quelqu'un
pourrait-il devenir
habile effectivement
dans cela devant être utile?
Il est évident, dit-il, ô fils,
qu'en apprenant
tout ce qu'à la vérité il est-possible
en apprenant savoir,
comme tu as appris la tactique;
puis en demandant aux dieux
par la divination,
toutes les choses qui *ne sont*
ni pouvant-être-apprises par les hommes,
ni pouvant-être-prévues
par la prévoyance humaine,
tu serais plus habile que les autres;
puis en prenant-soin
de ce que tu saurais
étant mieux à être fait,
afin-que *cela* soit fait;
et en effet le prendre-soin
de ce qu'il faut,
est d'un homme plus habile,
que le négliger

XXIV. Mais certes évidemment
la même route,
laquelle, si quelqu'un désirait
être chéri par les amis,
conduit vers l'être aimé
par les gouvernés

ἔμοιγε ἐν τοῖς μεγίστοις δοκεῖ εἶναι) δηλονότι ἡ αὐτὴ ὁδός, ἥπερ εἴ τις ὑπὸ τῶν φίλων στέργεσθαι ἐπιθυμοίη. Εὖ γὰρ οἶμαι δεῖν ποιοῦντα φανερὸν εἶναι. Ἀλλὰ τοῦτο μέν, ἔφη, ὦ παῖ, χαλεπὸν τὸ ἀεὶ δύνασθαι εὖ ποιεῖν, οὓς ἄν τις ἐθέλῃ· τὸ δὲ συνηδόμενόν τε φαίνεσθαι, ἤν τι ἀγαθὸν αὐτοῖς συμβαίνῃ, καὶ συναχθόμενον ἤν τι κακὸν, καὶ συνεπικουρεῖν προθυμούμενον ταῖς ἀπορίαις αὐτῶν, καὶ προφοβούμενον μή τι σφαλῶσι, καὶ προνοεῖν πειρώμενον ὡς μὴ σφάλλωνται, ἐπὶ ταῦτά[1] πως δεῖ μᾶλλον συμπαρομαρτεῖν.

XXV. Καὶ ἐπὶ τῶν πράξεων δὲ, ἣν μὲν ἐν θέρει ὦσι[2], τὸν ἄρχοντα δεῖ τοῦ ἡλίου πλεονεκτοῦντα[3] φανερὸν εἶναι· ἣν δὲ ἐν χειμῶνι, τοῦ ψύχους· ἣν δὲ δέῃ μοχθεῖν, τῶν πόνων· πάντα γὰρ ταῦτα εἰς τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων μᾶλλον, συλλαμβάνει. Λέγεις σὺ, ἔφη, ὦ πάτερ, ὡς καὶ καρτερώτερον δεῖ πρὸς πάντα τὸν ἄρχοντα τῶν ἀρχομένων εἶναι. Λέγω γὰρ οὖν, ἔφη. Θάῤῥει μέντοι, ἔφη, τοῦτο[4], ὦ παῖ· εὖ γὰρ ἴσθι, ὅτι τῶν ὁμοίων σωμάτων οἱ αὐτοὶ πόνοι οὐ ὁμοίως ἅπτονται ἄρχοντός

des principales conditions d'un sage gouvernement, il faut se conduire comme si l'on voulait gagner l'affection de ses amis. Je veux dire, qu'il faut leur faire du bien ouvertement. Je sais toutefois qu'on ne peut pas toujours faire du bien à ceux à qui l'on voudrait en faire : mais il est facile de leur témoigner qu'on prend part à leurs prospérités et à leurs afflictions; qu'on s'empresse à les secourir dans leurs affaires; qu'on craint qu'ils ne réussissent mal dans leurs desseins; qu'on cherche à les garantir d'un malheur qui les menace : et c'est par de tels moyens qu'il faut les obliger, si l'on ne peut le faire autrement. »

XXV. « Dès que l'armée s'est mise en campagne, le général doit s'épargner moins que les autres; en été il doit supporter plus de chaleur; en hiver il doit endurer plus de froid; s'il faut travailler, il doit avoir le premier la main à l'ouvrage; c'est ainsi qu'il parvient à gagner le cœur des soldats. » « Il faut donc, dit Cyrus, qu'un chef sache mieux supporter la fatigue que ceux qui sont sous lui! » « Cela est vrai, répondit Cambyse : mais, rassurez-vous, mon fils; sachez que les mêmes travaux n'incommodent pas également le général et le

(ὅπερ δοκεῖ ἔμοιγε εἶναι
ἐν τοῖς μεγίστοις).
Οἶμαι γὰρ δεῖν
ποιοῦντα εὖ εἶναι φανερόν.
Ὦ παῖ, ἔφη,
ἀλλὰ τοῦτο μὲν χαλεπὸν,
τὸ δύνασθαι ἀεὶ ποιεῖν εὖ,
οὕς τις ἐθέλῃ ἄν·
τὸ δὲ φαίνεσθαι
συνηδόμενόν τε,
ἤν τι ἀγαθὸν συμβαίνῃ αὐτοῖς,
καὶ συναχθόμενον,
ἤν τι κακὸν,
καὶ προθυμούμενον συνεπικουρεῖν
ταῖς ἀπορίαις αὐτῶν,
καὶ προφοβούμενον
μὴ σφαλῶσί τι,
καὶ πειρώμενον προνοεῖν
ὡς μὴ σφάλλωνται,
δεῖ συμπαρομαρτεῖν πως
μᾶλλον ἐπὶ ταῦτα.

XXV. Καὶ δὲ ἐπὶ τῶν πράξεων,
ἤν μὲν ὦσιν ἐν θέρει,
δεῖ τὸν ἄρχοντα εἶναι φανερὸν
πλεονεκτοῦντα τοῦ ἡλίου·
ἤν δὲ ἐν χειμῶνι, τοῦ ψύχους·
ἤν δὲ δέῃ μοχθεῖν, τῶν πόνων·
πάντα γὰρ ταῦτα συλλαμβάνει
εἰς τὸ φιλεῖσθαι μᾶλλον
ὑπὸ τῶν ἀρχομένων.
Σὺ λέγεις, ἔφη, ὦ πάτερ,
ὡς δεῖ τὸν ἄρχοντα εἶναι
καὶ καρτερώτερον πρὸς πάντα
τῶν ἀρχομένων.
Λέγω γὰρ οὖν, ἔφη.
Θάρρει μέντοι τοῦτο,
ἔφη, ὦ παῖ.
Ἴσθι γὰρ εὖ,
ὅτι οἱ αὐτοὶ πόνοι
οὐχ ἅπτονται ὁμοίως

(ce qui paraît à moi-du-moins être
parmi les plus importantes choses).
Car je pense falloir
faisant *du* bien être évident.
O fils, dit-il,
mais ceci à la vérité *est* difficile,
le pouvoir toujours faire *du* bien,
à qui quelqu'un voudrait;
mais le se-montrer
et jouissant-ensemble,
si quelque bien arrive à eux,
et s'affligeant-ensemble,
si quelque mal,
et s'empressant *de* subvenir
aux besoins d'eux,
et craignant d'avance
qu'ils n'échouent en-quelque chose,
et tâchant *de* prévoir
afin qu'ils n'échouent pas,
il faut assister de-quelque-manière,
surtout dans ces choses.

XXV. Mais aussi dans les affaires
si d'abord elles sont en été,
il faut le chef être manifeste
ayant plus du soleil,
puis si en hiver, du froid;
puis s'il faut peiner, des travaux;
car toutes ces choses contribuent
à l'être aimé davantage
par les gouvernés.
Tu dis, dit-il, ô père,
qu'il faut le commandant être
même plus ferme à toutes choses
que les commandés.
En effet je *le* dis donc, dit-il.
Cependant rassure-toi là-dessus,
dit-il, ô fils.
Car sache-bien
que les mêmes peines
n'affectent pas également

τε ἀνδρὸς καὶ ἰδιώτου· ἀλλ' ἐπικουφίζει τι ἡ τιμὴ τοὺς πόνους τῷ ἄρχοντι, καὶ αὐτὸ τὸ εἰδέναι, ὅτι οὐ λανθάνει, ὅ τι ἂν ποιῇ[1].

XXVI. Ὁπότε δὲ, ὦ πάτερ, ἥδη ἔχοιεν μὲν τὰ ἐπιτήδεια οἱ στρατιῶται, ὑγιαίνοιεν δὲ, πονεῖν δὲ δύναιντο, τὰς δὲ πολεμικὰς τέχνας ἠσκηκότες εἶεν, φιλοτίμως δ' ἔχοιεν πρὸς τὸ ἀγαθοὶ φαίνεσθαι, τὸ δὲ πείθεσθαι αὐτοῖς ἥδιον εἴη τοῦ ἀπειθεῖν, οὐκ ἂν[2] ἤδη τηνικαῦτα σωφρονεῖν ἄν τις σοὶ δοκοίη, διαγωνίζεσθαι βουλόμενος πρὸς τοὺς πολεμίους ὡς τάχιστα; Ναὶ μὰ Δί', ἔφη, εἰ μέλλοι γε πλεῖον[3] ἕξειν· εἰ δὲ μὴ, ἔγωγ' ἂν ὅσῳ οἰοίμην καὶ αὐτὸς βελτίων εἶναι, καὶ τοὺς ἑπομένους βελτίους ἔχειν, τόσῳ δ' ἂν μᾶλλον φυλαττοίμην. Ὥσπερ καὶ τὰ ἄλλα, ἃ ἂν οἰώμεθα πλείστου ἡμῖν ἄξια εἶναι, ταῦτα πειρώμεθα ὡς[4] ἐν ἐχυρωτάτῳ ποιεῖσθαι.

simple soldat, car le général trouve un grand soulagement à ses peines; il sait que pas une de ses actions ne sera étouffée dans le silence. »

XXVI. « Mais enfin, reprit Cyrus, quand les soldats auront toutes les munitions nécessaires, qu'ils jouiront d'une bonne santé, qu'ils seront accoutumés à la fatigue, qu'ils sauront bien exécuter les manœuvres militaires, qu'ils désireront une occasion de faire voir leur courage, qu'ils prendront plaisir à être obéissants; jugez-vous qu'il soit à propos de combattre les ennemis dès la première rencontre? » « Oui, s'il y a apparence d'avoir de l'avantage sur eux, reprit Cambyse : autrement, plus je m'estimerais vaillant homme, et plus j'estimerais avoir de bons soldats; plus je prendrais de précautions, puisque ce n'est pas la coutume de hasarder les choses qu'on estime précieuses. »

τῶν σωμάτων ὁμοίων ἀνδρὸς
ἄρχοντός τε καὶ ἰδιώτου·
ἀλλὰ ἡ τιμὴ
καὶ αὐτὸ τὸ εἰδέναι,
ὅτι οὐ λανθάνει,
ὅ τι ἂν ποιῇ,
ἐπικουφίζει τι
τοὺς πόνους τῷ ἄρχοντι.

XXVI. Ὦ πάτερ,
ὁπότε δὲ οἱ στρατιῶται
ἔχοιεν μὲν ἤδη
τὰ ἐπιτήδεια,
ὑγιαίνοιεν δὲ,
δύναιντο δὲ πονεῖν,
εἶεν δὲ ἠσκηκότες
τὰς τέχνας πολεμικὰς,
ἔχοιεν δὲ φιλοτίμως
πρὸς τὸ φαίνεσθαι ἀγαθοὶ,
τὸ δὲ πείθεσθαι εἴη
ἥδιον αὐτοῖς τοῦ ἀπειθεῖν,
τὶς βουλόμενος τηνικαῦτα ἤδη
διαγωνίζεσθαι ὡς τάχιστα
πρὸς τοὺς πολεμίους
οὐκ ἂν δοκοίη σοι
σωφρονεῖν ἄν;
Ναὶ μὰ Δία, ἔφη,
εἴ γε μέλλοι
ἕξειν πλεῖον·
εἰ δὲ μὴ, ἔγωγε ἂν,
ὅσῳ οἰοίμην
καὶ αὐτὸς εἶναι βελτίων,
καὶ ἔχειν
τοὺς ἑπομένους βελτίους,
τόσῳ δὲ μᾶλλον
φυλαττοίμην ἄν.
Ὥσπερ καὶ τὰ ἄλλα,
ἃ οἰώμεθα ἂν εἶναι
ἄξια πλείστου ἡμῖν,
πειρώμεθα ποιεῖσθαι ταῦτα
ἐν ὡς ἐχυρωτάτῳ.

les corps semblables d'un homme,
et gouvernant et privé;
mais l'honneur
et même le savoir
qu'il n'est pas caché,
quoi qu'il fasse,
allège en-quelque-sorte
les peines au chef.

XXVI. O père,
mais lorsque les soldats
d'un côté auraient déjà
les choses nécessaires,
de l'autre seraient-en-bonne-santé,
et pourraient travailler,
et seraient ayant exercé
les arts militaires,
et se-comporteraient ambitieusement
pour se-montrer braves,
et *que* obéir serait
plus doux à eux que désobéir,
quelqu'un voulant alors déjà
combattre au plus vite possible
contre les ennemis,
ne paraîtrait-il pas à toi
agir-sagement?
Oui, par Jupiter, dit-il,
si toutefois il doit
avoir de l'avantage;
mais si non, moi du moins,
d'autant que je croirais
et moi-même être meilleur,
et avoir
ceux accompagnant meilleurs,
d'autant plus
je prendrais des précautions.
Comme aussi les autres choses
que nous penserions être
dignes du plus grand *prix* pour nous,
nous tâchons *de* faire (mettre) elles
dans *l'endroit* le plus sûr possible.

XXVII. Πλέον δ' ἔχειν, ὦ πάτερ, πολεμίων πῶς ἄν τις δύναιτο μάλιστα; Οὐ μὰ Δί', ἔφη, οὐκέτι τοῦτο φαῦλον, ὦ παῖ, οὐδ' ἁπλοῦν ἔργον ἐρωτᾷς· ἀλλ' εὖ ἴσθι, ὅτι δεῖ τὸν μέλλοντα[1] τοῦτο ποιήσειν, καὶ ἐπίβουλον εἶναι, καὶ κρυψίνουν, καὶ δολερὸν, καὶ ἀπατεῶνα, καὶ κλέπτην, καὶ ἅρπαγα, καὶ ἐν παντὶ πλεονέκτην τῶν πολεμίων. Καὶ ὁ Κῦρος ἐπιγελάσας εἶπεν· ὦ Ἡράκλεις, οἷον σὺ λέγεις, ὦ πάτερ, δεῖν ἄνδρα με γενέσθαι! Οἷος ἂν, ἔφη, ὦ παῖ, δικαιότατός τε καὶ νομιμώτατος ἀνὴρ εἴης.

XXVIII. Πῶς μὴν, ἔφη, παῖδας ὄντας ἡμᾶς καὶ ἐφήβους τἀναντία τούτων ἐδιδάσκετε; Ναὶ μὰ Δί', ἔφη, καὶ νῦν γε, πρὸς τοὺς φίλους τε καὶ πρὸς τοὺς πολίτας· ὅπως δέ γε τοὺς πολεμίους δύναισθε κακῶς ποιεῖν, οὐκ οἶσθα μανθάνοντας ὑμᾶς πολλὰς κακουργίας; Οὐ δῆτ' ἔγωγ', ἔφη, ὦ πάτερ. Τίνος μὴν, ἔφη, ἕνεκα ἐμανθάνετε τοξεύειν; τίνος δ' ἕνεκα, ἀκοντίζειν; τίνος δ' ἕνεκα, δολοῦν ὗς ἀγρίους πλέγμασι καὶ ὀρύγμασι; τί δὲ, ἐλάφους

XXVII. « Et comment donc, poursuivit Cyrus, peut-on avoir de l'avantage sur les ennemis? » « Ce que vous me demandez est une chose importante, et qui en embrasse plusieurs autres, répondit Cambyse : car celui qui veut se procurer un avantage sur ses ennemis, doit être fourbe, dissimulé, trompeur, larron, voleur, en un mot, plus fin qu'eux en toutes choses. » « O dieux, s'écria Cyrus, en souriant, quelle leçon me donnez-vous là! » « Et cependant, répondit Cambyse, c'est la plus juste et la plus raisonnable que je vous puisse donner. »

XXVIII. « Comment donc l'entendez-vous, répliqua Cyrus, puisqu'on nous a enseigné tout le contraire dans notre jeunesse? » « Et c'est le contraire encore, dit Cambyse, qu'on vous enseigne tous les jours pour vous apprendre à vivre avec vos concitoyens et avec vos amis; mais on vous apprend aussi mille malices pour que vous sachiez nuire à vos ennemis » « Pour moi, répondit Cyrus, je n'ai jamais rien appris de semblable. » « Pourquoi donc avez-vous appris à tirer de l'arc? reprit Cambyse : pourquoi avez-vous appris à lancer le javelot? pourquoi tendez-vous des piéges aux cerfs et aux sangliers? pourquoi n'avez-vous jamais

XXVII. Ὦ πάτερ, πῶς δέ
τις δύναιτο ἂν μάλιστα
ἔχειν πλέον πολεμίων ;
Οὐ μὰ Δία, ἔφη, ὦ παῖ,
ἐρωτᾷς οὐκέτι τοῦτο
ἔργον φαῦλον, οὐδὲ ἁπλοῦν·
ἀλλὰ ἴσθι εὖ, ὅτι δεῖ
τὸν μέλλοντα ποιήσειν τοῦτο εἶναι
καὶ ἐπίβουλον, καὶ κρυψίνουν,
καὶ δολερὸν, καὶ ἀπατεῶνα,
καὶ κλέπτην, καὶ ἅρπαγα,
καὶ πλεονέκτην τῶν πολεμίων
ἐν παντί.
Καὶ ὁ Κῦρος ἐπιγελάσας εἶπεν·
ὦ Ἡράκλεις, σὺ λέγεις δεῖν
μὲ γενέσθαι οἷον ἄνδρα,
ὦ πάτερ!
Ἔφη· ὦ παῖ, οἷος ἂν εἶης
ἀνὴρ δικαιότατός τε
καὶ νομιμώτατος.

XXVII. O père, mais comment
quelqu'un pourrait-il le mieux
avoir de l'avantage sur les ennemis
Non, par Jupiter, dit-il, ô fils,
tu ne demandes plus cela
une chose méprisable, ni simple ;
mais sache bien qu'il faut,
celui devant exécuter cela, être
et insidieux, et dissimulé,
et rusé, et trompeur,
et voleur, et pillard,
et supérieur aux ennemis
en tout.
Et le Cyrus riant-là-dessus, dit :
O Hercule, tu dis falloir
moi devenir quel homme,
ô père!
Il dit : O fils, tel-que tu serais
un homme et très-juste
et très-loyal.

XXVIII. Ἔφη· πῶς μὴν
ἐδιδάσκετε ἡμᾶς
ὄντας παῖδας καὶ ἐφήβους
τὰ ἐναντία τούτων ;
Ναὶ μὰ Δία, ἔφη,
καὶ νῦν γε,
πρός τε τοὺς φίλους
καὶ πρὸς τοὺς πολίτας·
ὅπως δέ γε δύναισθε
ποιεῖν κακῶς τοὺς πολεμίους,
οὐκ οἴσθα ὑμᾶς μανθάνοντας
πολλὰς κακουργίας ;
Οὐ δῆτα ἔγωγε, ἔφη, ὦ πάτερ.
Ἔφη· ἕνεκα μὴν τίνος
ἐμανθάνετε τοξεύειν ;
ἕνεκα δὲ τίνος ἀκοντίζειν·
ἕνεκα δὲ τίνος δολοῦν
ὗς ἀγρίους
πλέγμασι καὶ ὀρύγμασι ;
τί δε, ἐλάφους

XXVIII. Il dit : Pourquoi donc
enseigniez-vous à nous,
étant enfants et adolescents,
les contraires de ces choses?
Oui, par Jupiter, dit-il,
même à présent certes,
et envers les amis,
et envers les citoyens;
mais afin que du moins vous puissiez
faire *du* mal aux ennemis,
ne sais-tu pas vous apprenant
beaucoup de mauvais-moyens?
Non certes, moi, dit-il, ô père.
Il dit : A cause donc de quoi
appreniez-vous *à* tirer-de-l'arc?
et à cause de quoi à lancer-le-javelot?
et à cause de quoi à prendre-avec ruse
des sanglers sauvages
dans des filets et dans des fossés?
et pourquoi des cerfs

ποδάγραις καὶ ἁρπεδόναις; τί δὲ, λέουσι καὶ ἄρκτοις καὶ παρδάλεσιν οὐκ εἰς τὸ ἴσον καθιστάμενοι ἐμάχεσθε, ἀλλὰ μετὰ πλεονεξίας τινὸς ἀεὶ ἐπειρᾶσθε ἀγωνίζεσθαι πρὸς αὐτά[1]; ἢ οὐ γινώσκεις πάντα ταῦτα ὅτι κακουργίαι τέ εἰσι, καὶ ἀπάται, καὶ δολώσεις, καὶ πλεονεξίαι;

XXIX. Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος, θηρίων γε· ἀνθρώπων δὲ εἰ καὶ δόξαιμι βούλεσθαι ἐξαπατῆσαί τινα, πολλὰς πληγὰς οἶδα λαμβάνων. Οὐδὲ γὰρ[2] τοξεύειν, οἶμαι, ἔφη, οὐδ' ἀκοντίζειν ἄνθρωπον ἐπετρέπομεν ὑμῖν, ἀλλ' ἐπὶ σκοπὸν βάλλειν ἐδιδάσκομεν· ἵνα γε νῦν μὲν μὴ κακουργοίητε τοὺς φίλους, εἰ δέ ποτε πόλεμος γένοιτο, δύναισθε καὶ ἀνθρώπων στοχάζεσθαι. Καὶ ἐξαπατᾷν δὲ καὶ πλεονεκτεῖν οὐκ ἐν ἀνθρώποις ἐπαιδεύομεν ὑμᾶς, ἀλλ' ἐν θηρίοις, ἵνα μηδ' ἐν τούτοις[3] τοὺς φίλους βλάπτοιτε· εἰ δέ ποτε πόλεμος γένοιτο, μηδὲ τούτων ἀγύμναστοι εἴητε.

attaqué de front ni lions, ni ours, ni léopards, sans prendre votre avantage sur eux? Ne sont-ce pas là autant de malices, de tromperies, de ruses, de lâchetés?»

XXIX. « Mais c'est pour m'en servir contre des animaux sans raison, répondit Cyrus; et je me souviens d'avoir été sévèrement puni, lorsque je m'avisais de vouloir tromper un homme.» « On ne permet pas non plus, reprit Cambyse, de s'exercer sur des hommes à tirer de l'arc, ou à lancer le javelot, mais on plante un but contre lequel on tire, afin de ne blesser personne, et d'apprendre néanmoins à tirer adroitement sur les ennemis. De même ce n'est point sur les hommes que nous vous avons appris à tromper et à savoir prendre vos avantages; mais sur des bêtes, afin que vous ne fissiez point de mal à vos amis, et que vous connussiez néanmoins ces stratagèmes, si la guerre vous obligeait à vous en servir.»

ποδάγραις καὶ ἁρπεδόναις;
τί δὲ οὐ καθιστάμενοι
εἰς τὸ ἴσον
ἐμάχεσθε λέουσι
καὶ ἄρκτοις καὶ παρδάλεσιν,
ἀλλὰ ἐπειρᾶσθε ἀεὶ
ἀγωνίζεσθαι πρὸς αὐτὰ
μετά τινος πλεονεξίας;
ἢ οὐ γινώσκεις πάντα ταῦτα
ὅτι εἰσὶ κακουργίαι τε
καὶ ἀπάται
καὶ δολώσεις καὶ πλεονεξίαι;
XXIX. Ναὶ μὰ Δία,
ὁ Κῦρος ἔφη, θηρίων γε.
Εἰ δὲ δόξαιμι βούλεσθαι καὶ
ἐξαπατῆσαί τινα ἀνθρώπων,
οἶδα λαμβάνων πολλὰς πληγάς.
Οἶμαι γὰρ, ἔφη,
ἐπετρέπομεν ὑμῖν
οὐδὲ τοξεύειν
οὐδὲ ἀκοντίζειν ἄνθρωπον,
ἀλλὰ ἐδιδάσκομεν
βάλλειν ἐπὶ σκοπόν·
ἵνα γε
μὴ κακουργοίητε
νῦν μὲν τοὺς φίλους,
δύναισθε δὲ στοχάζεσθαι
καὶ ἀνθρώπων,
εἰ πόλεμος γένοιτό ποτε.
Ἐπαιδεύομεν δὲ ὑμᾶς
καὶ ἐξαπατᾷν
καὶ πλεονεκτεῖν
οὐκ ἐν ἀνθρώποις,
ἀλλὰ ἐν θηρίοις,
ἵνα μηδὲ
βλάπτοιτε
τοὺς φίλους ἐν τούτοις·
εἴητε δὲ μηδὲ
ἀγύμναστοι τούτων,
εἰ πόλεμος γένοιτό ποτε

dans des piéges et dans des lacets?
et pourquoi ne vous-plaçant pas
dans l'égalité,
combattiez-vous contre les lions,
et les ours, et les léopards,
mais tâchiez-vous toujours
de lutter contre ces *bêtes*
avec quelque avantage?
ou ne sais-tu pas tout cela,
que *ce* sont et de mauvais-tours,
et des tromperies,
et des ruses et des avantages?
XXIX. Oui, par Jupiter,
le Cyrus dit, sur-des bêtes certes.
Mais si je paraissais vouloir aussi
tromper quelqu'un des hommes,
je sais recevant (que je recevais) beau-
Car je pense, dit-il, [coup de coups.
nous n'ordonnions à vous
ni *de* tirer-de-l'arc,
ni *de* frapper-du-javelot un homme;
mais nous enseignions
à frapper au but;
afin que certes
vous ne maltraitassiez pas
maintenant à la vérité les amis,
mais pussiez viser
aussi à des hommes,
si une guerre se-faisait jamais.
Et nous enseignions vous
et *à* tromper
et *à* prendre vos avantages
non sur des hommes,
mais sur des bêtes,
afin-que non plus
vous *ne* blessassiez *pas*
les amis dans ces choses;
mais *ne* fussiez *pas* non plus
non-exercés dans ces choses,
si une guerre se-faisait jamais.

XXX. Οὐκοῦν, ἔφη, ὦ πάτερ, εἴπερ χρήσιμά ἐστιν ἀμφότερα ἐπίστασθαι, εὖ τε ποιεῖν καὶ κακῶς ἀνθρώπους, καὶ διδάσκει ἀμφότερα ταῦτα ἔδει ἐν ἀνθρώποις. Ἀλλὰ λέγεται, ἔφη, ὦ παῖ, ἐπὶ[1] τῶν ἡμετέρων προγόνων γενέσθαι ποτὲ ἀνὴρ διδάσκαλος τῶν παίδων, ὃς ἐδίδασκεν ἄρα τοὺς παῖδας τὴν δικαιοσύνην, ὥσπερ καὶ σὺ κελεύεις· μὴ ψεύδεσθαι, καὶ ψεύδεσθαι, καὶ μὴ ἐξαπατᾶν, καὶ ἐξαπατᾶν, καὶ μὴ διαβάλλειν, καὶ διαβάλλειν, καὶ μὴ πλεονεκτεῖν, καὶ πλεονεκτεῖν. Διώριζε δὲ τούτων ἅ τε πρὸς τοὺς φίλους ποιητέον ἦν, καὶ ἃ πρὸς τοὺς ἐχθρούς· καὶ ἔτι δὲ ταῦτα[2] ἐδίδασκεν, ὡς καὶ τοὺς φίλους δίκαιον εἴη ἐξαπατᾶν, ἐπί γε ἀγαθῷ, καὶ κλέπτειν τὰ τῶν φίλων, ἐπί γε ἀγαθῷ.

XXXI. Καὶ ταῦτα διδάσκοντα ἀνάγκη καὶ γυμνάζειν ἦν πρὸς ἀλλήλους τοὺς παῖδας ταῦτα ποιεῖν· ὥσπερ καὶ ἐν πάλῃ φασὶ τοὺς Ἕλληνας διδάσκειν ἐξαπατᾶν, καὶ γυμνάζειν δὲ τοὺς παῖδας πρὸς ἀλλήλους τοῦτο δύνασθαι ποιεῖν. Γενόμενοι οὖν τινες οὕτως

XXX. «Cependant, répondit Cyrus, puisqu'il est si utile de savoir faire du bien et du mal aux hommes, il me semble qu'il faudrait apprendre l'un et l'autre.» « Aussi dit-on, repartit Cambyse, que du temps de nos pères il y eut un maître de la jeunesse, qui, pour enseigner la justice, s'y prenait comme vous le désirez; ainsi il apprenait à la fois à mentir et à ne point mentir, à tromper et à ne point tromper; à médire et à ne point médire, à usurper le bien d'autrui et à ne le point usurper : et après cela, il faisait une distinction, et montrait qu'il fallait se servir de l'un avec ses ennemis, et de l'autre avec ses amis. Il allait plus loin, et enseignait qu'il était juste quelquefois de tromper ses amis, ou de leur dérober quelque chose, quand cette tromperie ou ce larcin pouvait tourner à leur profit.»

XXXI. « Il obligeait donc les enfants à pratiquer ces leçons entre eux, comme on dit que chez les Grecs la jeunesse s'exerce à user de supercherie dans la lutte. Cependant il se trouvait des esprits si portés natu-

XXX. Οὐκοῦν, ἔφη, ὦ πάτερ,
εἴπερ ἐστὶ χρήσιμα
ἐπίστασθαι ἀμφότερα,
ποιεῖν τε εὖ καὶ κακῶς
ἀνθρώπους,
ἔδει καὶ διδάσκειν
ταῦτα ἀμφότερα ἐν ἀνθρώποις.
Ἔφη· ὦ παῖ, ἀλλὰ ἀνὴρ
διδάσκαλος τῶν παίδων
λέγεται γενέσθαι ποτὲ
ἐπὶ τῶν ἡμετέρων προγόνων,
ὃς ἐδίδασκεν ἄρα
τοὺς παῖδας τὴν δικαιοσύνην,
ὥσπερ καὶ σὺ κελεύεις·
μὴ ψεύδεσθαι καὶ ψεύδεσθαι,
καὶ μὴ ἐξαπατᾷν καὶ ἐξαπατᾷν,
καὶ μὴ διαβάλλειν καὶ διαβάλλειν,
καὶ μὴ πλεονεκτεῖν
καὶ πλεονεκτεῖν.
Διώριζε δὲ
ἅ τε τούτων
ἦν ποιητέον πρὸς τοὺς φίλους,
καὶ ἃ πρὸς τοὺς ἐχθρούς·
καὶ δὲ ἐδίδασκεν ἔτι ταῦτα,
ὡς εἴη δίκαιον
ἐξαπατᾷν καὶ τοὺς φίλους,
ἐπὶ ἀγαθῷ γε,
καὶ κλέπτειν τὰ τῶν φίλων,
ἐπὶ ἀγαθῷ γε.

XXXI. Καὶ ἀνάγκη ἦν
διδάσκοντα ταῦτα
γυμνάζειν καὶ τοὺς παῖδας
ποιεῖν ταῦτα πρὸς ἀλλήλους·
ὥσπερ φασὶ
τοὺς Ἕλληνας διδάσκειν καὶ
ἐξαπατᾷν ἐν πάλῃ,
γυμνάζειν δὲ καὶ τοὺς παῖδας
δύνασθαι ποιεῖν τοῦτο
πρὸς ἀλλήλους.
Τινὲς οὖν γενόμενοι οὕτως

XXX. Cependant, dit-il, ô père,
puisqu'il est utile
de savoir les-deux-choses,
faire et *du* bien et *du* mal
à des hommes,
il fallait aussi enseigner
ces deux choses sur des hommes.
Il dit : O fils, mais un homme,
instituteur des enfants,
est dit avoir été autrefois
du-temps des nôtres ancêtres,
lequel enseignait en effet
aux enfants la justice,
comme aussi tu *le* prescris ;
ne pas mentir et mentir,
et ne pas tromper et tromper,
et ne pas calomnier et calomnier,
et ne pas prendre-ses-avantages
et prendre-ses-avantages.
Mais il distinguait,
et lesquelles de ces choses
il était à-faire envers les amis.
et lesquelles contre les ennemis ;
et de plus il enseignait encore ceci,
qu'il était juste
de tromper même les amis,
pour *leur* bien, il-est-vrai,
et *de* voler les choses des amis,
pour *leur* bien, il-est-vrai.

XXXI. Et nécessité était
lui enseignant ces choses
exercer aussi les enfants [autres
à faire ces choses les uns contre le
comme ils disent
les Grecs enseigner aussi
à tromper dans la lutte,
et exercer encore les enfants
à pouvoir-faire cela
les uns contre les autres
Quelques-uns donc devenus ainsi

εὐφυεῖς καὶ πρὸς τὸ εὖ ἐξαπατᾷν, καὶ πρὸς τὸ εὖ πλεονεκτεῖν, ἴσως δὲ καὶ πρὸς τὸ φιλοκερδεῖν οὐκ ἀφυεῖς ὄντες, οὐκ ἀπείχοντο οὐδ' ἀπὸ τῶν φίλων, τὸ μὴ οὐχὶ πλεονεκτεῖν παρ' αὐτῶν πειρᾶσθαι[1]. Ἐγένετο οὖν ἐκ τούτου ῥήτρα, ᾗ καὶ νῦν χρώμεθα ἔτι, ἁπλῶς διδάσκειν τοὺς παῖδας, ὥσπερ τοὺς οἰκέτας πρὸς ἡμᾶς αὐτοὺς διδάσκομεν ἀληθεύειν, καὶ μὴ ἐξαπατᾷν, μηδὲ κλέπτειν, μηδὲ πλεονεκτεῖν· εἰ δὲ παρὰ ταῦτα ποιοῖεν, κολάζειν[2]· ὅπως σὺν τοιούτῳ ἔθει ἐθισθέντες, πραότεροι πολῖται γένοιντο.

XXXII. Ἐπεὶ δὲ ἔχοιεν τὴν ἡλικίαν, ἥνπερ σὺ νῦν ἔχεις ἤδη, καὶ τὰ πρὸς τοὺς πολεμίους νόμιμα ἐδόκει ἀσφαλὲς εἶναι διδάσκειν· οὐδὲ γὰρ ἂν ἔτι ἐξενεχθῆναι δοκεῖτε πρὸς τὸ ἄγριοι πολῖται γενέσθαι, ἐν τῷ αἰδεῖσθαι ἀλλήλους συντεθραμμένοι· ὥσπερ γε καὶ περὶ ἀφροδισίων οὐ διαλεγόμεθα πρὸς τοὺς ἄγαν

rellement à tromper et à se prévaloir de leur adresse, que pour peu qu'ils eussent de pente à l'avarice, ils ne pouvaient s'empêcher d'user de leur talent, même au préjudice de leurs amis. On résolut dès lors d'enseigner simplement à la jeunesse, comme nous l'enseignons à nos serviteurs, à dire toujours la vérité, à ne point tromper, à ne point voler, à ne point dérober ; et l'on punit ceux qui transgressent ces préceptes : par cette discipline, on accoutume peu à peu les enfants à vivre paisiblement entre eux. »

XXXII. « Mais, quand ils ont atteint votre âge, on croit pouvoir leur enseigner sans danger de quelle façon il faut se comporter envers ses ennemis ; parce qu'il ne paraît guère possible que vous commenciez à vous nuire les uns aux autres, après avoir été nourris longtemps dans un respect et dans une bienveillance réciproque. Ainsi, nous ne parlons point de l'amour en présence des enfants,

εὐφυεῖς	bien-disposés
καὶ πρὸς τὸ ἐξαπατᾶν εὖ,	et pour le tromper bien,
καὶ πρὸς τὸ πλεονεκτεῖν εὖ,	et pour le prendre-des-avantages bien,
ἴσως δὲ καὶ οὐκ ὄντες	mais peut-être aussi n'étant pas
ἀφυεῖς πρὸς τὸ φιλοκερδεῖν,	mal-disposés à aimer-le-gain,
οὐκ ἀπείχοντο οὐδὲ ἀπὸ τῶν φίλων,	ne s'abstenaient pas-même des amis
τὸ μὴ οὐχὶ πειρᾶσθαι	*pour* ne point tâcher
πλεονεκτεῖν παρὰ αὐτῶν.	*de* tirer-avantage d'eux.
Ῥήτρα οὖν,	Un décret donc,
χρώμεθα	dont nous usons
καὶ νῦν ἔτι,	même à-présent encore,
ἐγένετο ἐκ τούτου,	fut fait depuis ce *temps*,
διδάσκειν ἁπλῶς τοὺς παῖδας,	d'instruire simplement les enfants,
ὥσπερ διδάσκομεν	comme nous instruisons
τοὺς οἰκέτας,	les domestiques,
ἀληθεύειν πρὸς ἡμᾶς αὐτούς,	*à* être-vrais envers nous-mêmes,
καὶ μὴ ἐξαπατᾶν,	et *à* ne pas tromper,
μηδὲ κλέπτειν, μηδὲ πλεονεκτεῖν·	ni voler, ni être-cupides ;
κολάζειν δὲ,	mais *de les* punir,
εἰ ποιοῖεν παρὰ ταῦτα·	s'ils faisaient contre ces choses ;
ὅπως ἐθισθέντες	afin qu'habitués
σὺν τοιούτῳ ἔθει,	avec une telle habitude,
γένοιντο	ils devinssent
πολῖται πραότεροι.	des citoyens plus doux.
XXXII. Ἐπεὶ δὲ	XXXII. Mais lorsque
ἐχοιεν τὴν ἡλικίαν,	ils avaient l'âge
ἥνπερ σὺ ἔχεις ἤδη νῦν,	que tu as déjà maintenant,
